902. κατερινισμένον - 7 γ' om. - 11 γε om. - 12 τινὰ - 14 δῆτα - γ' om. - 20 φθέγξαιτο - 22 σκορδινιᾷ - 23 ληρήσει - 27 οὐδέν - - 29 γριπαιέτους - 30 ῥάδιον - 32 ἱππαλεκτρυόνα - 36 θεοῖς - ποῖα γ' ἐστίν - 37 ἱππαλεκτρυόνας - 38 ἂν τοῖς - 39 παρά σου τὴν τέχνην εὐθύς (om. τὸ πρῶτον.) - 46 μέντοι - εἶπεν εὐθὺς - 48 ἂν om. - 49 ἔλεγον - 50 δῆτ' - 56 εἰσβολάς - 64 γνώση - 65 τούτου μὲν οὖν - μάνης (Gl. ἢ μανικὸς ἢ οὕτως ἐκαλεῖτο) - 70 ἀλλὰ κῖος - 71 μέντοι 'γὼ - 76

οἰκείας - 82-83 οἰκέτας. ζητεῖτε - 85 τρυβλίον - 87 χθεσινὸν - 88 ἐλαίας - 90 μαμάκυθοι - 91 μελιτίδαι - κάθηντο - 93 σὺ δὲ - 96 κατηγόρηκέ σου - 98 ἀντιλέξης.

1000. ἱστίοισιν - 7 ἐμὲ - 8 δεῖ - 10 τοῦτ' - 15 μητ' - 17 πήλικας - 18 γὰρ μ' ἐ. - 19 ΕΥΡΙΠΙΔ. eraso. - 20 ΔΙΟΝ. - 21 ΕΥΡΙΠΙΔ. ποῖον; - 24 εἵνεκα - 25 αὖτ' - 26 ἐδίδαξα - 28 ἡνίκ' ἤκουσα περὶ - 30 ἀσκεῖν - 35 πλὴν τοῦθ' - 36 ΕΥΡΙΠ. καὶ μὴν - παντακλέα γ' - 37 ἔμπεπε - 39 ἀγαθοὺς, da κἀγαθοὺς - 40 ἡ 'μὴ - 44 οἶδ' εἰς - 45 οὐδὲ γὰρ - μηδὲν - 46 ἐπὶ σοί τοι - σοῖς - πολλῶ - 47 γε om. - οὖν - 49 βλάπτουσιν - αἱ 'μαὶ - 51 πίνειν - 53 ἀλλ' ὅτ' - 56 δὲ δεῖ - λυκαβητοὺς - 59 καὶ τά γε - 60 ἄλλως τ' - μείζωσι χρῆσθαι in ras. - 62 ἃ 'μοῦ - 64 φαίνωντ' - 66 ἀλλ' ἐν ῥακίοις - περιειλόμενος - 68 ἐξέκυψεν - 70 ἐνέτριψε - 72 τοῖς ἄρχουσι - στωμυλομένων - τόθ' ἡνίκ' ἐγὼ (ἐγὼ in ras.) - 73 ἀλλ' - ῥυπαπαί - 74 εἰς - 76 ἀντιλέγειν (Gl. interl. ἀνέπεισεν αὐτούς) - οὐκέτ' ἐλαύνειν καὶ πλεῖ - 77 ἐσθ' οὑτοσί - 87 ἔστι νυνί - 89 ὥστ' ἀπεφάνθην - 93 κεραμεῖς - 95 τὴν γαστέρα - 98 φυσσῶν.

1106. ἔρετον - 12 οὐκέθ' - 18 γ' om. - 28 εἰς - 30 ταῦτα πάντ' ἐστ' - 31 εἰκοσί γ' - 32 σιγᾶν - 33 ἰαμβείοις - 34 τῳδ' - ἂν - 35 γ' ὅσον - 36 ΔΙΟΝ. ἀλλ' ὀλίγον - 41 πότερον - 44 ἐκεῖνον - 47 μᾶλλον - 53 εἰς - 56 εἰς - φησὶ τήνδε καὶ - 57 ἥκειν - κατέρχεσθαι - 59 μοι σὺ - 61 ἐστὶ - 62 καθότι - σὺ λέγεις - 63 ἐλθεῖν - εἰς - μετῆ - 71 εἰς - 72 τάδε - 73 αὖθις λέγε - 80 λέγε - ἀκουστέον - 84 ἀπόλλων - 86 εὐτυχής.

1202. ἐναρμόζειν - 4 τοῖσιν - 5 δείξης - 9 ΔΙΟΝ. - 20 τί ἔστιν - 23 ἐγκεκόψεται - 25 δή ποτ' - 30 ἐπειδ - 32 ταντάλιος - 35 ἀπόδος - 36 λήψη- 37 γ' om. - 40 πολύβοτρυν - 43 ἔασον - 48 τράπου - 49 ἔχω γ' ὡς αὐτὸν ἐπιδείξω - 50 ταῦθ' - 56 τῶν ἔτι νῦν ὄντων - 60 καὶ δέδοικ' - 61 πάνυ δὴ - 63 ταῦτα. Dopo il v. 1263, διαύλιον προσαυλεῖ τις. I sei fogli che contengono i vv. 1265-1337, e da 1377 fino al fine della commedia, sono scritti da mano più recente. - 66-67 om. - 69 δύω - 72 ὦ Αἰσχ. - 74 εὐφημεῖτε - 76 θροεῖν - αἴσιον om. - 79 εἰς - 80 γὰρ om. - 81 ἂν om. - ἀκούσεις - 86 τὸ φλαττόθραττο, e così sempre - 87-88 om. - 89 χειρὶ - 91 αἐροφύτοις? - 94 τ' Αἴαντι, om. ἐπ'.

1302. σκολιῶν - 7 ταῦτ' ἔστ' ἄδειν - 9 ἀλκίονες - ἀεννάοις -

11 τέγκουσαι - νοτεροῖς - 14 φάλαγκες - 16 καὶ κερκίδας - 22 om. - 24 τί δαὶ - 25 ταυτὶ - 30 πόνον - 33 πρόμολον - 35 νυκτὸς παῖδα - 37 Con la parola φόνια ricomincia la 1ª m. e va fino al v. 1377 inclusive. - 41 πόντιμε - 43 τέρατα - ξυναρπάσασα - 44 ὀρεσίγονοι - 46 ἐτύγχανον - 47 ἐμαυτοῖς - 48 εἱλίσσουσα - 51 ἀποδοίμαν - 52 ἐπ' αἰθέρα - 53 ἄχαια - 55 ἔβαλλον ἔβαλλον - 58 ἀμπάλετε - 59 δὲ om. - δίκτυνα - καλὴ - 61 διαπύρους - 62-3 ὀξυτάτοιν χαιροῖν - εἰς - 66 ὅπερ νῶϊν - 67 νὼ - 68 νῦν - 76 ἐπειθόμην - 78 δὴ νῦν. - ΑΙΣΧ. καὶ ΕΥΡ., om. - 79 ἀκά-τερος (κ) - 80 μεθεῖσθον - σφῶιν κοκύσω - 81 ἐχώμεθα - τοὖπος - 82 ὀφελ' - 84 μεθεῖτε - 85 τ' αἴτιον - 90 αὖθις οἱ δύο - ἦν - 91 οὐδὲν ἄλλο: nell'interl. ἱερόν - 93 μεθεῖτε μεθεῖτε - αὖ ras. ῥέπει - 94 κακῶν - 98 καθέξει - 99 ΔΙΟΝ. om.

1400. τέτταρας - 5 εἰσέθηκε - δύο - 7 εἰς - χὴ γυνὴ - χ' ὦ κηφισοδῶν - 9 ξυλαβών - ἐπὶ τῶν - 11 ἄνδρες σοφοί: γρ. φίλοι - αὐτὰ οὐ κρίνω - 12 οὐδ' ἑτέρῳ - 14 ἕνεκα - 17 φέρε δὴ πείθεσθε - μου - 19 ἢ - 20 ἂν οὖν - παραινέσειν - 21 μέλλῃ τι - 22 πρῶτα - 23 ἑκάτερος εἴπατον - 24 ΑΙΣΧ. - 28 ταχῆς - 33 ΔΙΟΝ. - 34 ἕτερος σαφῶς - 38 αἴροι ἂν - 40 ὀξύδας - 41 ῥάνοιεν - 48 χρησαίμεθ' - 49 τούτοις - 50 τἀναντία - 51 γε - 52 εὗρες - 53 ὀξύδας - 54 σὺ λέγεις - 55 πότερον - 57 γε aggiunto d'altro inchiostro - 59 ξυμφέρει - 60 εὕρησκε - ἀναδύσῃ - 61 οὐχὶ - 62 ἐνθάδ' - 63 ὁπότ' ἂν - 64 σφετέραν δὲ τὴν - 66 εὖ γε - ὁ δικ. - αὐτὸς - 67 ΕΥΡ. soprascritto ΠΛΟΥΤΩΝ. - 69 τοίνυν - 74 εἰργασμένος - 77 τίς δ' οἶδεν - Dopo κατθανεῖν, κατθάνειν δὲ ζῆν - 78 τὸ πνεῖν δειπνεῖν - 80 'γὼ om. - 86 δ' ἄπεισιν οἴκαδ' αὖθις - 89 φίλοις - 90 ξυνετός.

1500. χαίρων χώρει - Αἰσχύλε sopra il verso - 1 ἡμετέραν - 5 καὶ τουτοὶ - 6 μύρμικι - 10 ΑΙΣΧ. - ἥκωσιν - 15 θρόνον - 16 παράδος - 17 σώζειν - 20 μέμνησ' ὅπως - 22 εἰς - 27 μολπαῖς - 29 κὲς φάος γαῖαν - 30 τῇ τε. - In fine δέρας (sic) ἔλαβε τὸ δρᾶμα τῶν βατράχων.

Fra gli Scolii che a questa commedia leggonsi nel codice Cremonese, e che io soltanto frettolosamente esaminai, riferisco i quattro seguenti, che non si trovano nella collezione del Dübner.

Tre sono notevoli per la menzione della *parepigrafe*:

V. 45. παρεπιγραφὴ ὅτι εἶδεν Ἡρακλῆς τὸν Διόνυσον ἐπὶ τῷ κροκωτῷ ἐνδεδυμένον τὴν λεοντὴν καὶ τὸ ῥόπαλον φέροντα, καὶ διὰ τοῦτο εἰς γέλωτα παρεκινήθη.

V. 158. παρεπιγραφὴ ὅτι ἱστάμενος ὁ Διόνυσος καὶ διαλεγόμενος μετὰ τοῦ Ἡρακλέους ἐθεάσατο τινὰς εἰς Ἐλευσῖνα μυηθῆναι, τὰ μυστήρια βαστάζοντας καὶ σκευάρια, οὓς ἰδὼν ἐρωτᾷ.

V. 532. παρεπιγράφετο ἐνταῦθα ὅτι ἀφείλετο ὁ Διόνυσος τὸν Ξανθίαν τὴν λεοντὴν καὶ τὸ ῥόπαλον, καὶ ἀπῆλθον εἰς πανδοκευτρίας οἶκον.

Uno scolio al v. 484 suppone la lezione δείσας (sebbene il codice nel testo abbia δείσασα) che è data nel testo dal codice Ravennate e dal codice Ambrosiano, nel quale ultimo è corretta in δείσασα. Rispetto al Ravennate nota il Velsen « lemma scholii δείσα »: sembra però che questo scolio Ravennate (forse non diverso dal nostro) sia rimasto inedito; nella collezione del Dübner almeno non si trova.

V. 484. πρὸς τὴν ἀτοπίαν τῆς συμβάσεως καὶ τὴν σύνταξιν ἤγαγεν. οἱ γὰρ φόβῳ δεινῷ κατεχόμενοι οὐκ ἀρτίους διόλου τοὺς λόγους προάγουσιν. ἴσως δ' ἄν τις εἴποι καὶ ἀληθῆ δοκῶν λέγειν παρ' εὐφρονοῦσι δικασταῖς, ὡς ἐπειδὴ καρδία ἀνδρὸς ἦν αὕτη, θεὶς τὴν μετοχὴν πρὸς ἑαυτόν, ἤγαγε τὴν ἀπόδοσιν πρὸς τὴν καρδίαν, ὅπερ καὶ Θουκυδίδης ἐν ἄλλοις τε πολλοῖς εὕρηται ποιῶν κἀν τούτοις· (I. 49) « ἐν ᾗ αἱ ἀττικαὶ νῆες παραγινόμεναι τοῖς Κερκυραίοις εἰ πῇ πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων. » καὶ γὰρ κἀνταῦθα μέρος τῶν νεῶν ἦσαν οἱ στρατηγοί.

CODICE AMBROSIANO L. 39 sup.

Differenza fra la collazione pubblicata dal Velsen *e quella eseguita dal* Novati.

(V.)	(N.)
V. 75 ἀναγαγεῖν	ἀναγαγεῖν γρ. ἀναγεῖν
» 95 προσουρήσαντα	προσουρήσοντα
» 145 ἀποτρέψεις	ἀποστρέψεις
» 212 βοάν	βοά, poi ras.
» 227 agg. in marg. 1 m.	d'altra m. (la prima??)
» 286 στιν agg. 1 m.	d'altro inchiostro (cioè rosso, e non parmi della prima mano).
» 312 διό (νυσ)	agg. nel verso αὐλεῖ τις ἔνδοθεν
» 356 ἐξεχόρευσε	ἐξεχόρευσε dopo una rasura
» 463 λῆμ'	λῆμμ'
» 488 ΞΑΝ.	ΞΑΝ. poi cancellato
» 546 εἶδε	εἶδε in ras.
» 579 ἀπωλοίμην	ἀπολόμην
» 610 τύπτειν	καὶ τύπτειν
» 681 θρηκία	θρῃκία
» 729 γραφέντας	γραφέντας, nell'interl. ταχθέντας
» 746 καταράσωμαι	καταράσσωμαι
» 807	ΞΑΝΘ.
» 833 πρῶτον ὅπερ	πρῶτον ὅπερ γρ. πρότερον
» 838 ἀπύλωτον	ἀπύλωτον, ma ἀθύρωτον nell'interl.
» 908 ὑστάτοισιν	ὑστάτοισι
» 942 ἐπυλλίοις	ἐπυλλίοισι
» 952 γάρ αὔτ'	γὰρ om.
» 961 ἐκομπολάκουν	ἐκομποκάκουν, corr. ἐκομπολάκουν
» 963 καὶ Μέμνωνας	Μέμνωνας καὶ
» 964 γνώσει δὲ	γνώσει τε, correzione recente.
» 1028 ἐχάρην οὖν	ἐχείρην οὖν

(V.)	(N.)
V. 1036	dopo ὁπλίσεις ἀνδρῶν, segue lo scolio τὸν Μουσαῖον-αὐτόν φησι, ed. Dübner, p. 304, al v. 1033.
» » Παντακλέα	πεντακλέα
» 1066 γρ. περιειλημένος	γρ. περιειλάμενος
» 1089 ὥστ' ἀπαφαυάνθην	ὥστ' ἀπαυάνθην
» 1156 ταῦτα· ἥκω	1155 ταῦτα· 56 ἥκω
» 1210	εἶτα λέγ' ἕτερον λόγον καὶ τἄλλα
» 1219 ὦν πλουσίαν ἄρη πλάκα	cf. schol. ed. Dübner, p. 307, al v. 1219.
» 1298 ἐκ τοῦ καλοῦ	ἐκ τοῦ κακοῦ
» 1367 νώ	νῶ
» 1432-33 in ras., 2 m.	Nello spazio di un sol verso: la scrittura piuttosto recente. Si potrebbe dedurne che nel ms. non si leggesse il verso giudicato spurio dal Vossio, ma che vi fosse introdotto dal correttore.
» 1462 ἀνύει corr. in ἀνίη (2 m.)	ἀνύε corr. in ἀνίη
» 1524 (Così è indicato dai codd. RVA, ma non dall'Ambr.)	ΠΛΟΥΤΩΝ πρὸς τὸν χορόν.

E. PICCOLOMINI.

ALCUNE FAVOLE DELLO ΣΤΕΦΑΝΙΤΗΣ ΚΑΙ ΙΧΝΗΛΑΤΗΣ SECONDO UNA REDAZIONE INEDITA DI PRETE GIOVANNI ESCAMMATISMENO

La presente raccolta di favole non compare alla luce per alcun pregio intrinseco di materia o di forma; ma solo perchè, derivando dalla versione greca del Calila e Dimna, composta da Simeon Maestro, figlio di Seth, sotto il titolo di Στεφανίτης καὶ Ἰχνηλάτης (1), può fornirci qualche materiale utile alla recensione del testo di questo libro. Essa è tratta dal cod. Vaticano N.° 949, cartac., di carte num. 173, contenente, oltre all'operetta che pubblico, la vita di Esopo scritta da Massimo Planude, un'altra raccolta di favole (tratte in parte da Esopo, in parte da Aftonio retore, non poche dallo stesso Stefanite), alcuni epigrammi di Gregorio Nazianzeno scelti da Niceta Serronio, alcuni dialoghi di Luciano, dei carmi giambici di Tzetze, ecc. Autore della silloge è, come si ricava dal titolo, un

(1) Per le notizie intorno a questa versione v. la Memoria storica premessa dal Sacy all'edizione del libro di Calila e Dimna (Parigi 1816), e l'Introduzione di Benfey al *Panciatantra*. — Che le favole che pubblichiamo derivino dal greco di Simeone di Seth, oltre che è detto espressamente nel titolo (μῦθοι ἐκλεγέντες ἐκ τῆς βίβλου τοῦ Ἰχνηλάτου), può eziandio raccogliersi dal testo, dove sono riprodotti perfino alcuni errori di certi codici dello Stefanite. Cf. p. es. l'ἐλυποθύμησε della favola 3ª, che trovasi anche nel Cod. Barberino I, 172, e che è evidentemente corrotto dall'ἐλειποθύμησε dato dal testo di Stark (p. 14; ristampa ateniese, p. 5) e consigliatoci anche dall'arabo.

Prete Giovanni, che si distingue dagli altri preti di questo nome (1), per l'appellativo di ἐσκαματισμένος o, molto probabilmente, ἐσκαμματισμένος, che è quanto dire, se questa parola è stata bene interpretata presso Giorgio Pachymeres — *Andron. Pal.* 2, p. 77, C. (2) —, *tolto di ufficio*. L'opera sua consiste nell'avere scelto dal libro di Simeone alcune favole (in tutto ventuna), nell'averle esposte con forma alquanto diversa, e nell'averle illustrate con ἐπιμύθια, che non ci offrono nessuna attinenza con quelli dell'originale, autentici od interpolati che sieno, ma da riportarsi piuttosto al genere esopico per la loro invariabile formula: ὁ μῦθος δηλοῖ, ὅτι κ. τ. λ. L'ordine, con cui tali favole si succedono, è quello stesso, che si riscontra nello Stefanite, purchè si eccettui la XI, che dovrebbe seguire alla IX, e le XVII, XVIII e XIX, che avrebbero a collocarsi dopo la X; trasposizioni, delle quali si può con verosimiglianza dar carico a qualche copista. Per determinare più esattamente il valore della redazione di Giovanni, è necessario un breve confronto coll'originale; confronto, pel quale mi valgo non solo della edizione di Stark, o della Ateniese che la riproduce (3); ma ancora dei codd. Laurenziano XI, 14, Barberino I, 172, e Vaticani 704 e 867 (4); non che

---

(1) Sui quali v. Fabricio. *Bibliot. gr.* (ed. *Harless*), X, pag. 207; XI, pag. 650-651.

(2) V. *Stephani Thes.* s. v. σκαμματίζω.

(3) L'edizione di Gottofr. Stark è fatta sopra un codice amburghese, e pubblicata, con versione latina, a Berlino nel 1697, sotto questo titolo: *Specimen sapientiae Indorum veterum, id est liber ethico-politicus pervetustus dictus arabice* Kalîlah wa Dimnah, *graece* Στεφανίτης καὶ Ἰχνηλάτης. — La ristampa Ateniese è del 1851, ed è fatta dal Typaldos, ὡς συμπλήρωμα τῆς ἐκ τοῦ Ἰνδικοῦ ὑπὸ Δ. Γαλανοῦ ἀτελοῦς μεταφρ. τοῦ πρωτοτύπου συγγράμματος τοῦ Βισνοῦ-Σαρμᾶνος, ἐπιγραφομένου Χιτοπαδάσσα, ἢ Παντσα Τάντρα ἤτοι Πεντάτευχος.

(4) Del cod. Laur. XI, 14 dette notizia e qualche breve estratto il prof. E. Teza nei suoi *Appunti per la bibliografia del Panciatantra* (nell'*Orient und Occident* di Benfey), e nella *Avvertenza* all'edizione del *Governo de' Regni* (Bologna, presso G. Romagnoli, 1872), pag. VIII-XXIV "; dei codd. Barber. e Vatt. ha pubblicato

della versione latina del Poussin (dal greco) (1), di quella tedesca del Wolff (dall'arabo) (2), degli *Studi* del prof. Guidi, e della versione italiana, che va sotto il nome di *Governo de' Regni*.

Dal paragone istituito tra l'opera di Giovanni e l'originale risulta, che egli talora compendiò, talora espose colla stessa ampiezza le narrazioni di Simeon Maestro. Come esempio di grandissima brevità nel compendiare, valga la fine della prima favola messa a riscontro col testo di Stark, pag. 6, 8: Εἰ γὰρ μὴ πλούτου εὐπορήσει, οὐκ ἂν καλῶς περὶ τὸν βίον συναναστραφῇ, οὔτε τινὰς εὐεργετῆσαι δυνηθείη. Εἰ δὲ πλοῦτος μέν ἐστιν αὐτῷ, οὐ μὴν δὲ καλῶς τοῦτον οἰκονομεῖ, τάχιστ' ἂν τοῖς πένησι γενήσεται συναρίθμιος. Εἰ γὰρ καὶ δαπάνας ἐλαχίστας ποιεῖται, κατὰ μικρὸν δὲ μὴ ἐπιγινομένης τινὸς προσθήκης, ὁ σύμπας αὐτῷ πλοῦτος ἀναλωθήσεται. Καθάπερ τὸ στίμμι, ὅπερ κατὰ μικρὸν ὡς χοῦς μεταδιδόμενον δαπανᾶται. Εἰ δὲ ὁ πλοῦτος ἐπικτηθῇ μέν, καὶ τῆς εἰσφορᾶς ἐπιμέλεια γένηται, οὐ μὴν ἐκ τούτου μεταδοθῇ τι καὶ τοῖς χρῄζουσι, πένης πάλιν ὁ τοῦτον ἔχων λογισθήσεται. Καὶ αἴτιος αὐτῷ ὁ πλοῦτος παντελῆς [sic; leg. παντελοῦς come nella ristampa Ateniese, pag. 4] ἀπωλείας γενήσεται, καὶ διαρραγήσεται τὰ τῆς εὐπορίας. Καθάπερ οἱ σωλῆνες διαρρήγνυνται, ὅτε ἐν αὐτοῖς ὕδωρ προστιθέμενον ὕδατι πόρον ἀπορροίας οὐχ εὑρίσκει. — Ma la fretta di epitomare porta il redattore fino al punto di essere oscuro: così nella seconda favola non si capisce bene perchè il mercante, dopo

---

qualche tratto il prof. I. Guidi nei suoi *Studi sul testo arabo del libro di Calila e Dimna* (Roma, 1873). — La collaz. del cod. Laur., di cui mi valgo, mi è stata favorita dal prof. E. Teza, al quale rendo grazie pubblicamente; come pure al prof. I. Guidi, per avermi inviato alcuni estratti del cod. Barberino. Di altri luoghi del Barb., e dei due Vaticani (i quali per altro son mutili) adopero una collaz. fatta da me stesso. Nessuna delle favole redatte da Giovanni si trova nell'altra raccolta da me citata del cod. Vat. 949.

(1) Pubblicata in fine della sua versione delle storie di Giorgio Pachymeres. Io citerò l'edizione di Venezia del 1729 coi rimandi all'ed. Romana.

(2) Bidpai's Buch des Weisen. Arabische Erzählungen verdeutscht von Philipp Wolff. Stuttgart, 1839.

aver tratto il toro dal fango, lo abbandoni : τὸν δέ γε ταῦρον παντὶ τρόπῳ ἐκ τῆς ἰλύος ἀνέσπασεν, καὶ δὴ τοῦτον κατέλιπεν ἐν ἐκείνῳ τῷ τόπῳ, ὥστε νέμεσθαι καὶ παχυνθῆναι: mentre la ragione di ciò è chiara nel testo, dove si dice, che il toro ἀτονήσας κατελήφθη, περαιτέρω προχωρεῖν μὴ δυνάμενος (Stark, p. 8). — Non rade volte però Giovanni mostra la stessa ampiezza di esposizione che trovasi nell'originale; ed a convincersene, basti confrontare con questo le favole X, XVIII e XIX, non che la IX, a riscontro della quale sarà opportuno riferir qui il testo dello Stefanite secondo la lezione del cod. Vatic. 704, colle varianti del Barber.: Φθεὶρ γάρ τις, φασί, [ὅ φασι B] δεμνίοις τινὸς τῶν μεγιστάνων ἐπὶ μακρὸν ἐνεκέκρυπτο [μύκηστον ἔκρυπτε B] χρόνον, τρεφομένη τῷ αἵματι αὐτοῦ ὑπνώττοντος, καὶ ἠρέμα τούτῳ προσέρπουσα ἀφώρατος ἦν [προσέρπουσα ὑπνώττοντι ἐτρέφετο ἐκ τοῦ αἵματος αὐτοῦ (*sic*) B]. Μιᾷ δὲ τῶν νυκτῶν κατέλυσέ τις παρ' αὐτῇ ψύλλος [κατέλυσεν ἐπ' αὐτῇ ψίλος (*sic*) τις B], ὅστις ἀνυποστόλως καὶ αὐθαδῶς πλήξας τὸν ἄνδρα ὑπνώττοντα, τοῦτον [τοῦτον om. B] διύπνισεν· καὶ εὐθὺς ὁ τοιοῦτος τὴν ἑαυτοῦ στρωμνὴν ψηλαφήσας καὶ τὴν φθείραν εὑρὼν ἀπέκτεινε, τοῦ ψύλλου ἐκπηδήσαντος καὶ σωθέντος [διασωθέντος B]. — Tra le amplificazioni, che non hanno riscontro in nessuno dei codici o delle versioni citate, si considerino per es. le due seguenti : fav. III. ἐπωχεῖτο γὰρ τῷ ξύλῳ ὁ ἀνήρ, ὅπως ἐπιτηδείως σχίσει αὐτό: fav. V. ὁ γὰρ σκοπὸς οὗτος ὡς ἐπὶ τὸ πλεῖστόν ἐστι δυσκατόρθωτος, καὶ τὸ πρᾶγμα ἐν κινδύνῳ μᾶλλον κακίονι ἵσταται· πάρες τοίνυν τὴν τοιαύτην ὁδόν.

Più utile al nostro scopo è il determinare, a quale dei codici dello Stefanite si accosti di preferenza la redazione di Giovanni. Ora dai seguenti raffronti emerge chiaramente, che il redattore ebbe davanti a sè un codice assai diverso da quello amburghese adoperato da Stark e molto più vicino ai Vatt., Laur. e Barb., i quali hanno tra di loro grandissima affinità.

IV. ὑπελάμβανε δὲ γεγεμισμένον εἶναι τοῦτο (cioè τὸ τύμπανον) καὶ

πλῆρες κρεάτων. — Alquanto differente è in questo punto il testo Starkiano, secondo cui la volpe, avendo da prima trovato dei cibi nella selva, se ne sarebbe poi allontanata per la vana paura del timpano appeso ad un albero; Stark p. 38 (At. p. 10): Πολλῶν γὰρ καὶ πιμελῶν κρεάτων πρότερον ἐπιτυχοῦσα, τῷ δὲ μεγέθει τοῦ τυμπάνου καὶ τῷ ἤχει πλανηθεῖσα, ἀπέσχετο τούτων. Cfr. anche Poussin p. 157, ed. Rom. p. 567. Ma gli altri codici, il laur. cioè ed il barber. (i due vatic. sono mutili in questo luogo), e le altre versioni, araba ed italiana, hanno maggiore affinità col testo di Giovanni. Infatti secondo i due codici citati, il laur. e il barb., la volpe, che prima era fuggita per il rumore del timpano, spinta poi dalla fame gli si accosta, ὥστε πολλῆς πιμελῆς καὶ κρέατος ἐντυχεῖν (laur.), ingannata com'era dall'apparenza; dalla qual versione non si allontana l'Italiano del Governo de' Regni, dove per altro non compare il timpano, ma solo un rumore di rami scossi dal vento, « il quale udendo la volpe, temette di appressarvisi, ma vinta dalla fame e dall'appetito, prese ardimento, ed avvicinandosi sperò di trovarvi di molto carnaggio, ingannata dalla grandezza del suono » (p. 28). L'arabo si accosta ancora di più al nostro testo. Nel cod. fiorentino pubblicato dal prof. Guidi abbiamo (p. 27): « Quando la volpe sentì questo suono ne stette in guardia, poi si fece alquanto sopra al timpano per la gran fame che aveva e pel desiderio di trovare qualche cosa con che saziarsi: vide che non si moveva nè faceva niente, onde gli si avvicinò e lo trovò grasso, nè dubitò che fosse pingue e di buona carne ». E in Wolff (I, p. 22): « Er (der Fuchs) fand dieselbe (die Pauke) sehr dickleibig, und glaubte deshalb sicherlich, dass sie viel Fett und Fleisch haben müsse ».

V. λυκοπάνθηρ, e non θώς, come nel testo starkiano (S. p. 62, At. p. 16) e nella versione del Poussin (p. 159, ed. Rom. p. 570), ha Giovanni. Il laurenz. λυκοπάνθηρος, il barber. θώς la prima volta, λυκοπάνθηρος la seconda; *lupo cerviero* l'Italiano (p. 32); ma *Schakal* il Wolff (p. 40, 41, 44).

V. εἰ γὰρ πετασθεὶς εἰς ὕψος, εἶτα κατελθὼν ἄρῃς κόσμον γυναικὸς κ. τ. λ. — Lo Stark (S. p. 68, At. p. 17) ha: ἁρπάσας γῆθέν τι τῶν τιμίων καὶ πολυτελῶν, οἷς ἄνθρωποι χρῶνται, κ. τ. λ. Ma *Schmuck eines Weibes* troviamo in Wolff (p. 45), γυναικεῖον κόσμον nel laur. e nel vat. 704, γυναικὸς κόσμον nel barber., e *alcun prezioso ornamento di donna* nell'Italiano (p. 34). Poussin (p. 160, ed. Rom. p. 571) si avvicina allo Stark: *aliquid pretiosum*.

VI. νῦν δὲ ἦλθον εἰς αὐτὴν ἄνδρες ἁλιεῖς δύο, ὥστε τοὺς ἰχθύας ἅπαντας συλλαβεῖν. — Stark (p. 64, At. p. 16): σήμερον δὲ ἑώρακα ἁλιεῖς παραγενομένους, ὅπως ἂν ἅπαντας τοὺς ἰχθύας σαγηνεύσωσιν. Cfr. Poussin p. 159, ed. Rom. p. 570-71. Ma che i pescatori erano *due* è detto in Wolff (p. 42), nel laur. e nel barber., e nella versione italiana (p. 33).

VI. καὶ ὁ κύκνος τοῦ ἔργου ἀρξάμενος ἐν ἑκάστῃ ἡμέρᾳ, ὅσους ἂν μετεκόμιζεν κατήσθιεν. — Le parole ἐν ἑκάστῃ ἡμέρᾳ, che non si trovano nel testo di Stark (p. 66, At. p. 17: Ἤρξατο δὲ ἐπὶ τοιαύτῃ προφάσει μετακομίζειν τινὰς τῶν ἰχθύων ἐπί τινα τόπον καὶ ἐσθίειν), trovano appoggio nell'arabo (Wolff p. 43: *täglich*), nei due codd. laur. e barb. (ἑκάστῃ ἡμέρᾳ) e nella versione italiana (p. 33: *ciascun giorno*). Poussin (p. 159-60, ed. Rom. 571) si avvicina anche qui all'amburghese.

VII. εἶπε τοῖς ἄλλοις (cioè ὁ λαγωός)· εἰ ἀκολουθήσετέ μου τῇ πράξει, ἀπαλλάξω ὑμᾶς τοῦ κινδύνου. — Stark (p. 72, At. p. 18): Εἶπε τοῖς θηρσί· Συνεργήσατέ μοι, ὦ θῆρες, ἀπαλλάξω γὰρ ὑμᾶς ἐπιτιμίου βαρυτάτου. Ma con un periodo ipotetico si trova espressa la proposta della volpe in Wolff (p. 47: « Wenn ihr nicht Schaden bringen wird, so hoffe ich euch vor dem Löwen Ruhe verschaffen zu können); nel laur., vatic. 704 e barber. (εἰ συνεργήσετέ [συνεργήσητέ vat. 704] μοι, ὦ θῆρες, ἀπαλλάξω ὑμᾶς τοῦ βαρυτάτου [τούτου add. laur. vatic. 704] ἐπιτιμίου); nella versione del Poussin (p. 160, ed. Rom. p. 571: Si me non fallit animus et Deus cogitata fortunet, liberabo vos gravi onere tyrannici tributi), ed in

quella italiana (p. 35: se voi mi volete aiutare, o compagni, io vi voglio liberare da questo gravissimo tributo).

VIII. ὑπῆρχεν οὖν τινας ἐλθεῖν ἁλιεῖς πρὸς τὴν λίμνην μιᾷ τῶν ἡμερῶν κατὰ πάροδον. — Le parole μιᾷ τῶν ἡμερῶν mancanti nell'amburghese (Stark p. 82, At. p. 20: συνέβη δὲ ἐλθεῖν δύο τινὰς ἁλιεῖς ἐπὶ τὸ τοιοῦτον λιμνήσιον ὕδωρ, κ. τ. λ.) si trovano nel laur. e nel vat. 704. L'Italiano ha pure *uno tra gli altri giorni* (p. 38); Wolff (p. 54) *einmal*; il barb. ποτέ. Anche qui abbiamo una concordanza tra il testo di Stark e la versione del Poussin p. 161, ed. Rom. p. 573.

VIII. Una lacuna dell'amburghese è colmata dal nostro testo. Stark p. 82 (At. p. 20): Ὁ μὲν οὖν συνετώτατος τούτων (cioè τῶν ἰχθύων) ἅμα τῷ ἀκοῦσαι τῶν τοιούτων, ἀπεδήμησε τῆς λίμνης πρὸς τὸν παραρρέοντα ποταμόν· οἱ δὲ λοιποὶ δύο, ἀμελήσαντες τῆς ἑαυτῶν σωτηρίας, προσεκαρτέρησαν. * * * Ὅπερ ἰδὼν ὁ ἧττον ἐχέφρων ἰχθύς, μετεμελήθη ἐπὶ τῇ τοῦ δέοντος ἀβλεψίᾳ, καὶ εἶπε πρὸς ἑαυτόν, κ. τ. λ. Ecco ora le parole di Giovanni, seguite da quelle corrispondenti nei codd. laur., barb. e vat. 704. Giov.: οἱ δὲ ἁλιεῖς τὴν μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς λίμνης δίοδον φράξαντες κατέκλεισαν ἤδη τοὺς ἰχθύας αὐτοὺς σαγηνεῦσαι. Simeon Maestro (secondo i citati codd.): [καὶ B] οἱ [μὲν οὖν L. V] ἁλιεῖς ἐλθόντες [φραγμῷ L. V] [φραγμὸν (*sic*) κατωχυρώσαντο B] τὸν μεταξὺ τοῦ λιμνηδίου καὶ τοῦ ποταμοῦ πόρον [κατωχυρώσαντο, L] [κατωχύρωσαν, ἐπειδὴ ὁ τόπος εὑρίσκετο ὀλίγος V]. Anche il Poussin (p. 161, ed. Rom. 573) ha: « intercluso jam exitu in flumen ». E l'Italiano (p. 38): « I pescatori, tornando, chiusero con una siepe il buco, onde dal lago si passava nel fiume ». Cfr. Wolff p. 54.

X. Il seguente periodo: — ἡμερῶν δὲ παρελθουσῶν, ἀπέλειψε τὸ ὕδωρ ἐκ τῆς πηγῆς· καὶ τούτου γενομένου, ἐσκόπουν τὰ νησσάρια μεταβῆναι εἰς ἑτέραν πηγήν· — mostra maggiore affinità col corrispondente nel laur. e vatic. 704 (ποτὲ δὲ τῶν ἡμερῶν ἀπέλειψε τὸ τῆς λίμνης ὕδωρ καὶ διὰ τοῦτο δύειν ψήθησαν αἱ νῆτται ἐπὶ ἕτερον

ὕδωρ L; μετὰ δέ τινα καιρὸν ὑπέλειψε τὸ τῆς πηγῆς ὕδωρ καὶ συνεβουλεύσαντο αἱ νῆτται μεταναστεῦσαι ἐπὶ ἕτερον ὕδωρ V) che non col testo di Stark (p. 116, At. p. 28: τοῦ δὲ τῆς πηγῆς ὕδατος ἐκλιπόντος, διενοήθησαν ἐκεῖθεν μεταστῆναι ἐφ' ἕτερον ὕδωρ). Cfr. l'Italiano a p. 48.

X. Anche l'espressione ὥστε μὴ εἰπεῖν λόγον ἐκ τοῦ στόματός σου mostra una maggiore affinità del nostro testo col laur. e vat. 704 (che hanno ὡς οὐδένα λόγον εἴποις), che non collo Starkiano (S. p. 118, At. p. 28: ὡς οὐδὲν φθέγξῃ). L'Italiano (p. 48) ha *di non dir parola*.

X. Alla fine della favola la testuggine dice: ναὶ πέτομαι, κἂν μὴ θέλετε (*sic*). -- Il testo di Stark (S. p. 118, At. p. 29) ha invece: ἀνωτέρη... ἵπταμαι ὑμῶν. Più vicine alla nostra sono le lezioni date dal vat. 704 (ἵπταμαι ἐς τὰ ⟨ἄνω?⟩ ἄνευ ὑμῶν), dal laur. (εἰς τὰ ⟨ἄνω?⟩ ἄνευ ὑμῶν), dal barb. (καὶ ἄνευ ὑμῶν ἵπταμαι) e dall'Italiano (p. 49: *si a vostro dispetto*). Il Poussin (p. 164, ed. Rom. p. 577) ha: « En, inquit, etiam vos, o Anates, supervolo ». Ma Wolff (p. 86): « Gott möge euch Verblenden, ihr Menschen! ».

XIII. Anche il seguente passo di Giovanni è più vicino ai vaticani 704 e 867, che non all'amburghese (S. p. 186, At. p. 44).

Cod. Amburghese.	Giovanni.	Codd. Vaticani.
Τοῦ δὲ θηρευτοῦ τὸ δίκτυον ἐξαπλώσαντος, περιστερά τις τῶν ἄλλων προκρίτους [*sic* ed. Stark ed At.; leg. πρόκριτος] θεασαμένη τοὺς κόκκους, ἐμπέπτωκεν αὐτῷ μετὰ τῶν ὑπ' αὐτὴν λοιπῶν περιστερῶν.	ἐν μιᾷ δὲ ἡμέρᾳ παραγενόμενος καὶ ἁπλώσας δίκτυον καὶ τοὺς κόκκους ἐντὸς ἀπορρίψας ἀπέστη· περιστερὰ δέ τις ἄλλων ἡγουμένη περιστερῶν τοὺς κόκκους ἰδοῦσα, τὸ δὲ δίκτυον μὴ νοήσασα, ἐνέπεσεν εἰς αὐτὸ σὺν ταῖς ἄλλαις περιστεραῖς· καὶ ὁμοῦ κατελήφθησαν.	ὁ δὲ [θηρευτὴς 704] τὸ δίκτυον [ἐξ- 704] ἥπλωσε καὶ ἐπ' αὐτῷ [σίτου κόκκους 704] [κόκκους σίτου 867] [ἀπ- 704] ἔρριψεν· περιστερὰ δέ τις τῶν ἄλλων [προκρειττοτάτη (*sic*) 704 [προκριτωτέρα 867] ἰδοῦσα τοὺς κόκκους καὶ τὸ δίκτυον μὴ θεασαμένη ἐμπέπτωκεν [ἐν αὐτῷ 867] [εἰς αὐτὸ καὶ 704] μετὰ τῶν [ἑτέρων 704] [λοιπῶν 867 περιστερῶν ὑπ' αὐτήν.

Cfr. anche Wolff p. 147-148, e l'Ital. p. 70. Non ho di questo luogo la lezione del cod. laurenziano.

XIII. ἐπεὶ καὶ ὁ τὴν εἰς αὐτὰς ἐξουσίαν μοι δοὺς χρέος μοι ἐνέθηκεν παντὶ τρόπῳ προνοεῖν καὶ ὑπερασπίζειν αὐτῶν. — L'amburghese (S. p. 192, At. p. 45; e il laur.?): ἐπεὶ γὰρ ὑπ' ἐμὲ αὗται τυγχάνουσιν οὖσαι, ἐπωφείλεται ταύταις ἡ παρ' ἐμοῦ πρόνοια. Cfr. Poussin p. 172, ed. Rom. pag. 589. Ma i vaticani 704 ed 867: ἐπεὶ [γὰρ 704] δέδωκέ μοι ὁ θεὸς τὴν κατ' αὐτῶν ἐξουσίαν, ἐποφείλεται ταύταις ἡ [παρ' ἐμοῦ 704] [ἐπ' ἐμὲ 867] πρόνοια. Anche l'Italiano (p. 72): « perciò che, dopo Dio mi ha dato podestà sopra esse, è debito mio di averne cura ».

XIV. καὶ ὁ μῦς ὡς εἶχε τάχους κατέλαβε καί φησι πρὸς αὐτήν· πῶς φρονιμωτάτη ὑπάρχουσα, φιλτάτη, τοιούτοις περιεπλάκης δεσμοῖς; — L'amburghese (S. p. 228, At. p. 53): Ὁ δὲ μῦς μετὰ τάχους δραμὼν τὴν δορκάδα κατέλαβε, καὶ ὁ κόραξ ὁμοῦ· « καὶ πῶς, ἔφασαν, ὦ φιλτάτη, τοῖς τοιούτοις δεινοῖς σαυτὴν περιέπλεξας; » In tre particolari differisce qui il testo starkiano dal nostro: nella espressione μετὰ τάχους, nella omissione del φρονιμωτάτη, e nell'aggiunta delle parole καὶ ὁ κόραξ ὁμοῦ dopo κατέλαβε, per le quali si fa insieme col topo andare dalla testuggine anche il corvo. In accordo per altro colla nostra lezione si trova quella del laur. e dei due vaticani. Infatti, ὅσον τάχος εἶχε ha il vat. 704, ἢ τάχους εἶχε δραμὼν hanno il vat. 867 ed il laur.; συνετωτάτη (corrispondente al φρονιμωτάτη di Giovanni) hanno tutti e tre i codici; e tutti e tre parimente consentono nel tralasciare le parole καὶ ὁ κόραξ ὁμοῦ, sostituendovi καὶ εἶπε πρὸς αὐτὴν (vat. 867 e laur.) oppure καὶ πρὸς αὐτὴν ἔφη (vat. 704), e facendo intervenire più tardi il corvo insieme colla testuggine, come si trova in Giovanni: ἐπεὶ δὲ μετ' ὀλίγον καὶ ὁ κόραξ καὶ ἡ χελώνη παρεγένοντο, κ. τ. λ. Cfr. Poussin p. 176, ed. Rom. p. 594; Wolff p. 176; e l'Italiano p. 83.

XVII. καὶ διερωτήσαντος αὐτὸ τοῦ κριτοῦ, ποῖος ἄρα ἐστὶν ὃς τὸ χρυσίον ὑφείλατο, φωνὴ ἐκεῖθεν ἐπέμπετο τὸν σχολαστικὸν

ὑπαίτιον λέγουσα. — Le parole ποῖος-ὑφείλατο mancanti nell'amburghese (S. p. 138, At. p. 33: τοῦ δὲ κριτοῦ ἐκεῖσε παραγενομένου καὶ τὸ δένδρον ἐπερωτήσαντος, φωνὴ ἐδίδοτο, κ. τ. λ.), nel vat. 704, nell'arabo vatic. (Guidi p. 38), e nell'Italiano (p. 52), hanno riscontro nel laur. (οἷος τὸν χρυσὸν ἀφείλατο), nel barb. (τίς τὸν χρυσὸν ἀφείλετο), in Poussin (p. 166, ed. Rom. p. 580: quis furatus thesaurum esset), e in Wolff (p. 96: wer das Geld entwendet habe).

XVIII. παρέθετο πρὸς φίλον αὐτοῦ σιδήρου κόμματα ἑκατόν. — Stark (p. 140, At. p. 33): παρακατετίθετό τινι λάμμας σιδήρου ἑκατόν. E τινὶ pure ha il laur.; l'Italiano *ad uno* (p. 53). Ma τινὶ τῶν φίλων αὐτοῦ il barb.; τινὶ φίλῳ αὐτοῦ il vat. 704; *apud amicum* il Poussin (p. 166, ed. Rom. p. 580); e *bei einem seiner freunde* Wolff (p. 99).

XVIII. ναί, ἀντέφη· ἔνθα μύες ἐσθίουσι σίδηρον, ἐκεῖσε ἱέρακες, οὐ μονον παῖδας,· ἀλλὰ καὶ ἐλέφαντας αἴρουσιν. — Le parole οὐ μόνον παῖδας. ἀλλὰ non trovano riscontro nell'amburghese (p. 142, At. p. 34: Ναί· ἔνθα μῦες σίδηρον τοσοῦτον ἐσθίουσιν, ἐκεῖσε καὶ ἱέρακες ἐλέφαντας αἴρουσιν), in Poussin (p. 166, ed. Rom. p. 581), in Wolff (p. 100) e nella vers. italiana (p. 54); ma bensì nel laur. e vat. 704 (ναί· ἔνθα μῦες σίδηρον ἐσθίουσιν, ἐκεῖ [σε καὶ 704] ἱέρακες, [οὐ μόνον ἀνθρώπους L] [οὐκ ἀνθρώπους μόνους 704] ἀλλὰ καὶ ἐλέφαντας [εἰς ὕψος L] αἴρουσιν), e più precisamente nell'arabo M (Guidi p. 39): « quegli, i cui topi mangiano il ferro, gli uccelli di lui sono capaci di rapire, *non che i fanciulli*, gli elefanti ».

Meritano per altro considerazione alcuni luoghi della nostra silloge, che si allontanano insieme e dal testo starkiano e da quello degli altri codici e versioni: in essi è da dubitare, se si abbia a riconoscere una variante perduta dell'originale, oppure un cambiamento introdotto dal redattore.

X. καὶ δὴ ταῦτα λαβόντα ξύλον ἐπικαμπές. — L'amburghese (S. p. 118) ed il laur. dànno invece un legno ἀπευθισμένον (ἀπευθυσμένον At. p. 28); il vat. 704 ἀπευθυέμενον (*sic*): l'Italiano

diritto (p. 48); Poussin (p. 164, ed. Rom. 576) *oblongo tigillo parato*.

XII. La seconda gaza, invece di dire, come generalmente (Wolff p. 139; cod. arabo vatic., Guidi p. 47; Stark p. 180, At. p. 42; laur., vatic. 704 e vatic. 867; Poussin p. 171, ed. Rom. p. 587; Italiano p. 67): « quanto a me, non dico nulla »; dice presso Giovanni: κἀγὼ εἶδον, *anch'io lo vidi*.

XVII. Tanto l'ingannatore, quanto il padre suo τιμωρηθέντες κατέστρεψαν τὴν ζωήν. Di punizione in genere si parla nell'amburghese (S. p. 138, At. p. 33: Τιμωρηθεὶς οὖν παρὰ τοῦ κριτοῦ σὺν τῷ υἱῷ); nel laur.; nel vat. 704; in Poussin p. 166, ed. Rom. p. 580; nell'Italiano p. 53; e negli arabi V. ed M., Guidi p. 38. Nell'arabo F. ed in Giovanni da Capua (Guidi p. 38) muore soltanto il padre, ed il figlio è gravemente punito. In Wolff si dice (p. 96), che il giudice decretò, « dass der Betrüger gehauen, und sein Vater beorfeigt und auf einem Esel reitend durch die Stadt geführt werden sollte ».

XX. καὶ ἐν τῷ διαπερᾶν αὐτοὺς τὸν κατὰ τὴν ὁδὸν π ο τ α μ ό ν, κ. τ. λ. — Nell'amburghese (S. p. 322, At. p. 73), nel laur., nel vat. 704 e nel vat. 867, in Wolff (p. 238), in Poussin (p. 180, ed. Rom. p. 600), e nell'Italiano (p. 104) si parla di mare da attraversare, abitando la testuggine in un'isoletta.

Chiuderò, avvertendo che nel pubblicare questo testo sono stato parchissimo nelle correzioni, non potendosi esattamente distinguere gli errori, anche grammaticali, commessi dal redattore stesso, da quelli dei copisti: quando poi ho corretto, ho sempre riportato in nota la lezione del codice.

Pisa, 29 maggio 1881.

VITTORIO PUNTONI.

INDICE

delle favole redatte da Giovanni Prete, coi richiami allo Stephanites *nelle edizioni S(tarkiana) ed A(teniese), ed alle versioni I(taliana) e tedesca di W(olff).*

COD. VAT. 949, f. 106 *b* sqq.

ΜΥΘΟΙ ΗΘΙΚΟΙ ΕΚΛΕΓΕΝΤΕΣ ΕΚ ΤΗΣ ΒΙΒΛΟΥ ΤΟΥ ΙΧΝΗΛΑΤΟΥ ΠΑΡΑ ΠΡΕΣΒΥΤΕΡΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΣΚΑΜ(Μ)ΑΤΙΣΜΕΝΟΥ ΚΑΙ ΦΡΑΣΘΕΝΤΕΣ

I.

Ἀνήρ τις πλούσιος ἔμπορος ἔχων παῖδας ῥᾳθύμους καὶ ὀκνηροὺς ἠβουλήθη εἰς ἐργασίαν αὐτοὺς διεγεῖραι. καὶ δὴ τούτους παραινῶν καὶ συμβουλευόμενος ἔλεγεν· ὦ τέκνα, ὁ κατὰ τὸν βίον ἀναστρεφόμενος τρία ταῦτα ἔχειν ὀφείλει, πλοῦτον ἱκανόν, δόξαν παρὰ ἀνθρώπων, καὶ ἔνθεον πολιτείαν, ὡς ἂν ἅμα τοῖς παροῦσι καὶ τῶν ἀϊδίων ἐκείνων 5 κληρονομήσει. ταῦτα δὲ πάλιν τέσσαρσι τούτοις οἰκονομοῦνται, πορισμῷ εὐλόγῳ, οἰκονομίᾳ ἀμέμπτῳ, συμπαθείᾳ τῶν δεομένων, καὶ ἀποχῇ τῶν ἐν βίῳ πεπραγμένων ἀτάκτως· ὧν χωρὶς οὐκ ἄν τις τῆς ἐφέσεως τύχοι. ὁ γὰρ πλουτῶν μέν, κακῶς δὲ τὸν πλοῦτον οἰκονομῶν, ἢ οἰκονομῶν μέν, μὴ κατὰ θεὸν δέ, οὐδὲν ἂν λυσιτελ(οί)η ἑαυτῷ· τὸ 10 μὲν γὰρ ὑπορρεῖ μὴ οὔσης προσθήκης, τὸ δὲ πτωχὸν μᾶλλον ἔσχατον δείκνυσι καὶ τῶν ἐπηγγελμένων ἀμέτοχον. ἀκούσαντες οὖν οἱ παῖδες τῶν πατρικῶν παραινέσεων μετὰ ἤθους εὐκόσμου πρὸς ἔργα ἀόκνως ὡρμήκεσαν.

Ἐπιμύθιον. ὁ μῦθος δηλοῖ ὅτι ἡ ἀγαθὴ τῶν φίλων παραίνεσις καὶ 15 τοὺς ἄγαν ῥᾳθύμους καὶ ἀμελεῖς, ἔτι δὲ καὶ πρὸς φόβον θεοῦ ἀργούς, δύναται προθύμους ποιεῖν, ὥστε καὶ τὰ ἐνταῦθα βλέπειν καὶ τῆς τοῦ θεοῦ βασιλείας μὴ ἐκπεσεῖν.

Indico con P *alcune congetture comunicatemi dal prof. E. Piccolomini, al quale pure appartiene il supplemento* (⟨ἄνω⟩) *alla lezione dei codd. vat.* 704 *e laur., nonchè la correzione* (πρόκριτος) *alle edd. starkiana e ateniese a pag.* 36. *Le rimanenti congetture sono mie.*

Titolo. *lin.* 3. cod. ἐσκαματισμένου. — I. 6. cod. τεσσαρα. — 10. λυσιτελ⟨οί⟩η P, cod. λυσιτελῆ. — 18. cod. βασιλείαν.

II.

Δύο ταῦροι ἐμπόρου τινὸς ἅμαξαν σύροντες, συνέβη τὸν ἕνα τούτων
συμποδισθέντα πεσεῖν ἐν πηλῷ· καὶ ὁ ἔμπορος ἀπορήσας ἀπηγόρευσε
μὲν τὴν ὁδόν, τὸν δέ γε ταῦρον παντὶ τρόπῳ ἐκ τῆς ἰλύος ἀνέσπασεν.
καὶ δὴ τοῦτον κατέλιπεν ἐν ἐκείνῳ τῷ τόπῳ ὥστε νέμεσθαι καὶ πα-
5 χυνθῆναι. ὁ δὲ ἐντυχὼν ὑδατώδει τόπῳ καὶ χλοηφόρῳ, καὶ νεμόμενος
ἐν τούτῳ καὶ λιπανθεὶς ἤδη, ἤρξατο γαυριᾶν καὶ ἐπαίρεσθαι καὶ τοῖς
κέρασι κατορύσσειν τὴν γῆν, ἔτι δὲ καὶ μυκηθμοὺς ἀποπέμπειν· ὧν
ἀκούσας ὁ λέων παρερχόμενος, καὶ τῷ ἤχῳ καταπλαγείς, εἱστήκει
τρέμων· καὶ ἦν ἰδεῖν τὸν τοσοῦτον ὄντα τὴν δύναμιν λέοντα ὑπότρομον
10 ἑστηκότα καὶ τὴν παρουσίαν τοῦ ταύρου ⟨φέρειν?⟩ μὴ σθένοντα.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις τῷ αἰφνιδίῳ τοῦ πράγματος δουλοῦνται
τὸ φρόνημα καὶ πάσχουσιν ἃ μὴ ὤφειλε.

III.

Τέκτον' ἐπὶ ὄρους σχίζοντα ξύλον διὰ σφηνῶν ἰδὼν πίθηκός τις
ἐνόμισεν εἶναί τινα ἱππότην ἄνδρα· ἐπωχεῖτο γὰρ τῷ ξύλῳ ὁ ἀνὴρ
ὅπως ἐπιτηδείως σχίσει αὐτό. τοῦ δὲ τέκτονος διά τινα χρείαν ἐπι-
δεδημηκότος, ἐπιδραμὼν τῷ ξύλῳ ὁ πίθηκος ἐπέβη αὐτοῦ, καὶ ἐπε-
5 χείρει πράττειν τὰ ὅμοια. ἐν ὅσῳ δὲ ἦν ἀσχολούμενος τῇ σχίσει
τοῦ ξύλου συνέβη, τῶν ῥηγμάτων τούτου ἀποβληθέντων τῶν πάλων,
κρατηθῆναι τοὺς ὄρχεις αὐτοῦ. οὗ γενομένου, ἐλιποθύμησεν ὁ πίθηκος
καὶ ἔπεσεν· καταλαβὼν δὲ αὐτὸν ὁ τέκτων ἐτιμώρησε τὰ μέγιστα.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ ἀνεπιστημόνως ἐπιχειροῦντες πράγμασιν
10 πίπτουσιν εἰς ἃ οὐ γινώσκουσι καὶ ἀπό⟨λ⟩λυνται.

II. *lin.* 7. κέρασι cf. Sim., ed. at. p. 4; cod. κέλευσι? — 7. ὧν P, cod. ὡς. —
10. ⟨φέρειν⟩ μὴ σθένοντα P, cod. μὴ στένοντα. — 11-12. manca il sogg. di δου-
λοῦνται, che può essere οἱ δυνατοὶ o sim. P. — 12. ἃ μὴ ὤφειλε, così il cod.
III. 1. cod. Τέκτων. — 5. cod. σχήσει. — 7. cod. ἐλυποθύμησεν.

IV.

Ἔτυχέ ποτε τύμπανον δένδρου ἄνωθεν ἐπαιωρᾶσθαι· ἀλώπεκος δὲ παρερχομένης πεινώσης, συνέβη τοῦτο ἰδεῖν. καὶ δὴ δόξαν αὐτῇ ἀγγεῖον εἶναι τροφῆς, ἐχάρη· ἐπεὶ δὲ ἐνεποίει κτύπον τοῖς κλώνοις τοῦ δένδρου προσκρουόμενον, φόβον ἐνέβαλλε τῇ ἀλώπεκι· καὶ ἐνεδοίαζεν αὐτῷ προσεγγίσαι. ὅμως ὑπὸ τοῦ λιμοῦ καὶ τῆς ὀρέξεως 5 κινηθεῖσα προσῆλθε τῷ χρήματι· ὑπελάμβανε δὲ γεγεμισμένον εἶναι τοῦτο καὶ πλῆρες κρεάτων. ἐπεὶ δ' οὖν ἐδυνήθη παντὶ τρόπῳ διασχίσαι αὐτό, ὅλον εὗρε κενόν· καὶ ἰδοῦσα, σχετλιῶσα ἔφη μετὰ λύπης· φεῦ, πῶς τὰ αἴσχιστα καὶ χείρονα σώματα μᾶλλόν εἰσι μεγαλόφωνα.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις οἱ μηδὲν ὄντες τῇ ἔξωθεν ἐπιφανείᾳ 10 ἀπατῶσι τοὺς ἁπλουστέρους, ὡς δή τι ὄντες· καὶ οἱ ἀγαθῶν μετέχοντες διὰ ταπείνωσιν οὐδὲν εἶναι λογίζονται.

V.

Κόρακος φωλεῷ ἐν ὀρεινῷ δένδρῳ ὄφις ἐπιβουλεύων καθημέραν παραγενόμενος ἔτρωγε τοὺς νεοττοὺς αὐτοῦ. πολλάκις δὲ τοῦτο παθών, λυπηθεὶς παρεγένετο πρός τινα λυκοπάνθηρα φίλον αὐτοῦ, ὥστε βουλὴν ἐξ ἐκείνου λαβεῖν, τί ἂν πράξοι. ἔλεγεν οὖν αὐτῷ, ὅτι βούλομαι πλησιάσαι τῷ ὄφει κοιμωμένῳ, καὶ ἐξορύξω τοὺς ὀφθαλμοὺς 5 αὐτοῦ κρύφα. καὶ ὁ λυκοπάνθηρ ἔφη πρὸς αὐτόν· κακῶς βουλεύει, φίλε· ὁ γὰρ σκοπὸς οὗτος ὡς ἐπὶ τὸ πλεῖστόν ἐστι δυσκατόρθωτος, καὶ τὸ πρᾶγμα ἐν κινδύνῳ μᾶλλον κακίονι ἵσταται. πάρες τοίνυν τὴν τοιαύτην ὁδὸν καὶ πορεύθητι ἑτέραν, δι' ἧς κἀκεῖνον ἀπωλέσειας καὶ σαυτὸν σώσεις ἀπὸ κινδύνου· εἰ γὰρ πετασθεὶς εἰς ὕψος, εἶτα κατελθὼν 10 ἄρῃς κόσμον γυναικὸς ἀποθέμενος αὐτῷ τῷ τοῦ ὄφεως φωλεῷ,

IV. *lin.* 1. ἐπαιωρᾶσθαι, così il cod. ἐπαιωρεῖσθαι? P. — 3. κλώνοις, così il cod. — 5. cod. λοιμοῦ. — 8. cod. καινὸν. — 8. σχετλιῶσα, così il cod. — 9. cod. χείρωνα.

V. 10. πετασθεὶς cf. x. 12, xiii. 7, xiv. 7. — 11. ἀποθέμενος-φωλεῷ, così il cod.

ἀκολουθήσουσί τινες δι' αὐτό, καὶ εὑρόντες τὸν ὄφιν ἀνελοῦσι. καὶ δὴ γενομένου, ἀβλαβῶς ὁ κόραξ τὸν ὄφιν ἠμύνατο.

Ὁ μῦθος δηλοῖ ὅτι δίκαιόν ἐστι τοῖς ὀρθοῖς φίλοις συμβουλεύουσιν
15 ὑπακούειν, καὶ μηδὲν ἀσυμβούλευτον ποιεῖν.

VI.

Κύκνος κατοικῶν μὲν ⟨ἐν⟩ λίμνῃ τινί, ἁλιεύων τοὺς ἐκεῖ ἰχθύας ἐτρέφετο· περὶ δὲ τὸ γῆρας ἁλιεύειν *** καὶ διὰ τοῦτο λιμώττων, λυπηθεὶς ἀπήρχετο πρὸς ὄρος τὸ σύνεγγυς· καρκίνῳ δὲ συναντήσας ὄντι ἐκ τῆς τοιαύτης λίμνης, ἠρωτήθη παρ' ἐκείνου τῆς ἀθυμίας τὸ
5 αἴτιον. ὁ δὲ ὑπολαβὼν ἔφη τῷ καρκίνῳ· ἐγώ, φίλος, ἔζων ὑπὸ τῆσδε τῆς λίμνης τρεφόμενος. νῦν δὲ ἦλθον εἰς αὐτὴν ἄνδρες ἁλιεῖς δύο, ὥστε τοὺς ἰχθύας ἅπαντας συλλαβεῖν, καὶ διὰ τοῦτό γε ἀθυμῶ. ὁ δὲ καρκῖνος τάχιστα ἀπελθὼν εἰς τὴν λίμνην ἀπήγγειλε πάντα τοῖς ἰχθύσιν· οἱ δὲ στενούμενοι παρεκάλουν τὸν κύκνον καίτοι γε ὄντα
10 ἐχθρὸν συμβουλεῦσαι τούτοις τὸ ποιητέον, καίτοι γε ὄντα ἐχθρόν· ὁ δὲ ἔφη· οὐδὲν ἄλλο οἶδα ὠφελῆσαι ὑμᾶς, ἀλλ' ἢ τὸ φυγεῖν ἀπὸ τῆς λίμνης πρὸς ἕτερον τόπον ἀχείρωτον. καὶ αὐτοὶ κοῦφοι ὄντες ἠξίουν αὐτόν, ὥστε αὐτὸν δι' ἑαυτοῦ τούτους μετακομίσαι· καὶ ὁ κύκνος τοῦ ἔργου ἀρξάμενος, ἐν ἑκάστῃ ἡμέρᾳ, ὅσους ἂν μετεκόμιζεν
15 κατήσθιεν, ὑποπτευόντων τῶν ἄλλων ζῆν τοὺς μετακομιζομένους. τέλος δὲ καὶ τὸν καρκῖνον μετακομίζων ἤγαγεν εἰς τὸν τόπον ἐφ' ὃν κατήσθιε τοὺς ἰχθύας· ὁ δὲ τὰ ὀστᾶ θεασάμενος καὶ νοήσας τὸν δόλον, καὶ δὴ διαλογισάμενος ἀποθανεῖν μᾶλλον γενναίως ἢ ἀδόξως, συμπλακεὶς τῷ τραχήλῳ τοῦ κύκνου ταῖς χηλαῖς αὐτοῦ τοῦτον ἀπέπνιξε.
20 Ὁ μῦθος δηλοῖ ὅτι οὐδεὶς ἐπιβουλεύων ζωῇ ἑτέρου καὶ ὀρύσσων τῷ πλησίον βόθρον, ἐξέφυγε τὸ μὴ ταῖς ἰδίαις ἄρκυσι κρατηθῆναι καὶ ἐν τῷ ὀρυχθέντι παρ' αὐτοῦ βόθρῳ ἐμπεσεῖν.

VI. *lin.* 1. ἐν P.; manca nel cod. — 2. παρὰ δὲ τὸ γῆρας ἁλιεύειν ⟨μὴ δυνάμενος⟩? cf. XVI. 1. P.; cod. περὶ δὲ τὸ γῆρας ἁλιεύειν καὶ. — 2-3. cod. λυπηθὴς. — 7. cod. ἀθυμῶ. — 9-10. la ripetizione καίτοι γε ecc. è nel cod. — 19. cod. ἀπέπνηξε. — 21. cod. ἄρκεσι.

VII.

Ἐπί τινι τόπῳ ὑδατώδει καὶ χλοηφόρῳ ἐνέμοντο τετραπόδων γένη διάφορα· ἐν ᾧ καὶ λέων κατῴκει ζωοφθόρος, ὃς καθημέραν ταῦτα κατήσθιε. μὴ φέροντα δὲ τὸν ἄδικον θάνατον ἔγνωσαν εἰσελθεῖν καὶ αἰτήσασθαι αὐτὸν ὡς ἂν ἕνα παρ' ἕνα καθ' ἡμέραν τὴν ἐνεστῶσαν προσάγωσι τῷ λέοντι ἀφ' ἑαυτῶν ἑκοντὶ εἰς βρῶσιν κατὰ κλῆρον, καὶ 5 τοῦ λοιποῦ μηκέτι φόβον ἔχοιεν τοῦ ἀδήλου τῆς ἄγρας· καὶ ὁ λέων τοῦτο ἀποδεξάμενος συγκατετίθετο. ποιούμενοι οὖν τὴν προσαγωγὴν καθεκάστην βάλλοντες κλῆρον, ἐπειδὴ ἦλθε καὶ εἰς τὸν λαγωὸν ὁ κλῆρος, εἶπε τοῖς ἄλλοις· εἰ ἀκολουθήσετέ μου τῇ πράξει, ἀπαλλάξω ὑμᾶς τοῦ κινδύνου. οἱ δὲ συνέθεντο· καὶ ὁ λαγωὸς τῷ ἄγοντι πα- 10 ραγγείλας σχολαίῳ ποδὶ ἄγειν αὐτόν, ἠγριώθη ἐν τῇ ἀργίᾳ ὁ λέων τῇ πείνῃ κινούμενος· ὀψὲ δὲ τοῦ λαγωοῦ ἐλθόντος, τί ἕως τοῦ νῦν, ὁ λέων ἔφη, ἐβράδυνας; καὶ ὁ λαγωός· μάνθανε ὅτι σὺν ἐμοὶ ἔφερον καὶ ἕτερον λαγωὸν πρὸς σέ· ἄλλῳ δὲ λέοντι συναντήσας καὶ βιασθεὶς ὑπ' αὐτοῦ ἀφῃρέθην αὐτόν· καὶ εἴ γε βούλει, ἄξω σε πρὸς αὐτόν. καὶ 15 ὁ λέων εἵπετο θυμωθείς· ὁ δὲ εἰς φρέαρ βαθύτατον ἀπαγαγὼν καὶ κάτω κύψας δείκνυσι τὴν ἑαυτοῦ σκιὰν τῷ λέοντι καί φησιν· οὗτός ἐστιν. καὶ ὁ λέων ἀπατηθεὶς ἔρριψε ἑαυτὸν εἰς τὸ ὕδωρ κάτω καὶ ἀπεπνίγη.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις οἱ μεγάλοι καὶ ἰσχυροὶ δι' ἔνδειαν φρε- 20 νῶν ὑπὸ τῶν ἐλαχίστων ἀπόλλυνται.

VIII.

Ἔν τινι λίμνῃ ποταμῷ συναπτομένῃ τρεῖς ἅμα ἰχθύες ἐνέμοντο· τούτων ὁ μὲν εἷς ἦν ἱκανὸς τῷ φρονήματι, ὁ δὲ πάντῃ ἠλίθιος, ὁ δὲ μέσος τῇ συνέσει. ὑπῆρχεν οὖν τινας ἐλθεῖν ἁλιεῖς πρὸς τὴν λίμνην μιᾷ τῶν ἡμερῶν κατὰ πάροδον, οἵτινες τοὺς ἰχθῦς ἰδόντες συνέθεντο ζωγρῆσαι τούτους, ὅτε ὑποστρέψωσι. καὶ ὁ μὲν φρονιμώτατος ἀκούσας 5

VII. *lin.* 11. cod. ἠγριώθη. — 12. cod. ὀψέ. — 21. cod. ἀπώλυνται.

τὴν ἐπιβουλὴν εὐθὺς ἔφυγε πρὸς τὸν ποταμόν, οἱ δὲ δύο προσκαρτε-
ρήσαντες ἦσαν ἐντός. ὑποστρεψάντων τῶν ἁλιέων. οἱ δὲ ἁλιεῖς τὴν
μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς λίμνης δίοδον φράξαντες κατέκλεισαν
ἤδη τοὺς ἰχθύας αὐτοὺς σαγηνεῦσαι. ἀλλ' ὁ μὲν μέσος τὴν σύνεσιν
10 ὑποκριθεὶς τὸ θανεῖν ἐπὶ τοῦ ὕδατος ἐφέρετο ὕπτιος, ὃν λαβόντες οἱ
ἁλιεῖς ῥίπτουσιν ὡς ἄπνουν εἰς τὸν αἰγιαλὸν πλησίον τοῦ ποταμοῦ,
αὐτὸς δὲ ἄφνω εἰς τὸν ποταμὸν εἰσπηδήσας διεσώθη· ὁ δὲ ἄνους
ἐκεῖνος, μὴ δυνηθεὶς ὑπὲρ ἑαυτοῦ τι βουλεύσασθαι, ὧδε κἀκεῖσε στρε-
φόμενος ἀνωφελῶς ἐζωγρώθη.
15 Ὁ μῦθος δηλοῖ ὅτι πᾶς συνετὸς ἰσχυρότερός ἐστιν ἀνοήτων πολλῶν.
καὶ ὁ κεκτημένος χρῆμα συνέσεως οὐ ῥᾳδίως ἐπιβουλεύεται. πολλάκις
δὲ καὶ ἐντὸς παγίδος γενόμενος διαφεύγει τὸν θάνατον.

IX.

Ἔτυχέ ποτε φθεὶρ ἐν στρώματί τινος τῶν πλουσίων ὑποκρυβείς. καὶ
ἐπὶ ἱκανῷ χρόνῳ ἦν τρεφόμενος τῷ αἵματι αὐτοῦ, ἐκείνου ἤδη ὑπνώτ-
τοντος· κατὰ μικρὸν γὰρ ὑφέρπων, ἀφώρατος ἐτύγχανεν ὤν. ἀλλ' ἐν
μιᾷ τῶν νυκτῶν ἐγένετο καὶ ψύλλαν ἐλθεῖν παρ' αὐτήν, ἥτις ἀναιδῶς τε
5 καὶ αὐθαδῶς πλήξασα τὸν δεσπότην ὕπνῳ κρατούμενον εὐθέως αὐτὸν
ἀνεγεῖραι ἐποίησεν· ὁ δὲ ψηλαφήσας καὶ τὸν φθεῖρα εὑρὼν ἀνεῖλεν.
τῆς ψύλλης εὐθὺς ἐκπηδησάσης καὶ τῆς στρωμνῆς διαδραμούσης.
Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ ἀδικοῦντες καὶ ἀκόλαστοι τὸ δοκοῦν
μένοντες, οὐκ εἰς τέλος τὴν δίκην διέφυγον, καὶ ὅτι δεῖ φεύγειν τῶν
10 πονηροτέρων τὴν κοινωνίαν.

X.

Πηγή τις ἦν, ἐν ᾗ διῆγον νησσάρια δύο καὶ μία χελώνη, ἔχοντα
φιλίαν πρὸς ἀλλήλους στερεάν. ἡμερῶν δὲ παρελθουσῶν, ἀπέλειψε

VIII. *lin.* 9. cod. σαγυνεῦσαι. — 11. cod. ἄπχουν. — 14. ἐζωγρώθη, così il cod. -- IX. 9. cod. καὶ ὅτι P, cod. κἄν τι. — 9-10. cod. τοὺς πονηροτέρους. — X. 2. ἀλλήλους, così il cod.

τὸ ὕδωρ ἐκ τῆς πηγῆς. καὶ τούτου γενομένου, ἐσκόπουν τὰ νησσάρια μεταβῆναι εἰς ἑτέραν πηγήν. ἡ δὲ χελώνη κλαίουσα τὴν ἑαυτῆς ὠδύρετο μόνωσιν καὶ τὸ μὴ ἔχειν εἰς τὸ ἔμπροσθεν πόρον ζωῆς· ἀλλ', ὦ 5 φίλα, ἔλεγεν, ἄρατέ με τῶν ἐνταῦθα καὶ μὴ ἐάσητε μόνην με ὧδε ἀποθανεῖν. τὰ δὲ ἔφησαν πρὸς αὐτήν· ἂν μή γε πρῶτον καθορκίσῃς ἡμῖν, ὥστε μὴ εἰπεῖν λόγον ἐκ τοῦ στόματός σου ἐν ὅσῳ εἴης παρ' ἡμῖν φερομένη, οὐκ ἄν σε μεταστήσαιμεν. καὶ αὐτὴ ὅρκισεν αὐτοῖς· καὶ δὴ ταῦτα λαβόντα ξύλον ἐπικαμπὲς ἐκέλευσαν ταύτῃ ἐνδακεῖν τὸ 10 μέσον αὐτοῦ, καὶ δακοῦσα, ἔλαβον τὰ νησσάρια τὰ δύο ἄκρα τοῦ ξύλου, καὶ πετασθέντα ὕψωσαν αὐτὴν καὶ ἔφερον δι' ἀέρος. ἀπερχομένων δέ, δύο ἄνδρες κάτωθεν ὁρῶντες αὐτὴν κρεμαμένην ἐβόησαν· οἷον ὁρῶμεν θαῦμα. ἴδετε, ἄνθρωποι, χελώνην κρεμαμένην καὶ δι' ἀέρος φερομένην; καὶ αὐτὴ ἐπιλαθομένη τῆς παραγγελίας ἔφη πρὸς 15 αὐτούς· ναὶ πέτομαι, κἂν μὴ θέλετε. καὶ ἐν τῷ λέγειν ἀφεῖσα τὸ ξύλον πίπτει εἰς γῆν καὶ συντρίβεται.

Ὁ μῦθος δηλοῖ ὅτι ὁ ἀνόητος καὶ νωθής, κἂν ἀξιωθῇ τινος δόξης, ἐξ ἀβουλίας ἐκπίπτει ταύτης, καὶ συναπόλλυσι καὶ τὸ ζῆν.

XI.

Λύκος ἅμα κόρακι καὶ θωῒ λέοντι συν⟨ν⟩εμόμενα ἦσαν, ἀλλήλοις συμφιλιούμενα· συνέβη δὲ καὶ κάμηλον ὑπὸ ἐμπόρων καταλειφθεῖσαν ἐντυχεῖν αὐτοῖς καὶ συνδιαιτᾶσθαι. καιροῦ δὲ αὐτοῖς ἔνδειαν ἐπαγαγόντος τροφῆς, ἐλίμωττον· συνέγνωσαν οὖν ἵνα τὴν κάμηλον διασπάσωσιν καὶ τὴν ἑαυτῶν ἔνδειαν παραμυθήσασθαι. εὐλαβούμενα δὲ 5 τοὺς ὅρκους οὓς ἐποιήσαντο πρὸς αὐτὴν ὁπότε τούτοις ἐνέτυχεν, διενοήθησαν εὐλόγως ἴσως καὶ εὐαφόρμως ἀνελεῖν αὐτήν. καὶ δὴ ἕκαστον ἐπιπλάστως ἑαυτὸ ἑκοντὶ πρὸς τροφὴν παρεῖχε τῷ λέοντι. καὶ αὐτὸς πάντα ἀπηνήνατο, ἄλλῳ ἄλλην ἀποδιδοὺς ⟨αἰτίαν⟩, δι' ἣν

lin. 18. cod. νωθεὶς. — 19. cod. κἰσυναπάλυσι. — XI. 1. cod. συνεμόμενα. — 9. αἰτίαν manca nel cod.

[10] ὑπῆρχεν ἀνεπιτήδειον. ἡ δὲ κάμηλος οἰηθεῖσα ὅτι καὶ αὐτὴ τὰ ὅμοια πείσεται, παρεῖχεν ἑαυτὴν εἰς τροφὴν ἑκοῦσα· καὶ δς συμβιβάσει κοινῇ ταύτην ἀνεῖλεν, καὶ ἐβεβρώκεισαν ἅπαντα ἀμεληθέντα καθάπερ τῶν συνθηκῶν.

Ὁ μῦθος δηλοῖ ὡς οὐ δεῖ συνδιάγειν τὸν ἁπλοῦν μετὰ τῶν πονη-[15] ρῶν καὶ δυστρόπων, καὶ οὐ δύναται οὔτις ὑπὸ πολλῶν καταψηφισθεὶς θάνατον, ἐκφυγεῖν τὰς ἄρκυς αὐτῶν.

XII.

Κυνηγὸς ἠράσθη ποτὲ τῆς γυναικὸς τοῦ κυρίου αὐτοῦ, ἡ δὲ ἐμίσει τὴν ἐκείνου ἀσέλγειαν· ὅθεν ἐθελοκακήσας ταύτῃ δι' αὐτὸ ὁ κυνηγέτης, καὶ θηρεύσας κίσσας δύο, ἐδίδαξεν αὐτὰς λέγειν περσίδι φωνῇ, τὴν μέν, ὅτι εἶδον τὴν κυρίαν μου μοιχευομένην τῷ πυλωρῷ, τὴν δὲ [5] ἑτέραν, ὅτι κἀγὼ εἶδον. ἔτυχεν οὖν τὸν κύριον τοῦ οἴκου Πέρσαις ποτὲ συμποσιάζειν· οἱ δέ Πέρσαι τῶν φωνῶν τῶν ὀρνέων ἀκούσαντες καὶ κατηφεῖς γενόμενοι ἐξεῖπον ἅπερ αἱ κίτται ἐβόων· καὶ ὁ κυνηγὸς ἔξω ἱστάμενος, κἀγώ, ἔφη, μαρτυρῶ τῷ δράματι, ὅτι πολλάκις εἶδον. θυμοῦ δῆτα πλησθεὶς ὁ τοῦ οἴκου κύριος ἔμελλε τὴν ἑαυτοῦ γυναῖκα [10] ἀνελεῖν· ἡ δέ γε γυνὴ σώφρων οὖσα τῷ ἰδίῳ ἀνδρὶ πάντα διεσάφησεν κατὰ μέρος, καὶ ὡς οὐδὲν ἄλλο οἴδασι λέγειν αἱ κίτται πλὴν τούτου, οὗ δὴ παρὰ τοῦ κυνηγοῦ ἐδιδάχθησαν. ἐρωτήσαντες τοίνυν τὰς κίττας οἱ Πέρσαι καὶ μηδὲν ἄλλο εἰδυίας αὐτὰς εὑρόντες ἀλλ' ἢ τὸ αἴσχιστον τοῦτο ῥῆμα ὃ μεμαθήκασιν, ἤρξατο ἡ γυνὴ καταβοᾶν [15] τοῦ ἀνοσίου ἐκείνου ἀνδρὸς πρὸς αὐτὸν λέγουσα· οὐδὲ τὸ ἀπὸ θεοῦ κρίμα ἐλογίσω, ἄθλιε, ἀλλὰ τοιαύτας διαβολὰς κατ' ἐμοῦ ἐπεχείρησας; καὶ ὁ ἀλιτήριος ἀπαναινόμενος ἔλεγε καὶ πάλιν, καὶ διετείνετο οὕτως ἔχειν ὡς εἴρηκεν· ἀλλ' ἄφνω πηδήσας ἱέραξ τοὺς ὀφθαλμοὺς αὐτοῦ κεντήσας ἐξέκοψεν.

lin. 11. cod. παρῆχε. — 12. cod. ἐβεβρώκεησεν. — 12. καθάπερ ἀμεληθέντα? P. — XII. 2. ἐθελοκακήσας P., cod. ἐθελοκακίσας. — 4. cod. μιχευομένην. — 10. cod. σώφρον οὖσα. — 13. cod. εὑροῦσαι. — 17. ἀλιτήριος.

Ὁ μῦθος δηλοῖ ὅτι πᾶς διαβολεὺς καὶ ὑβριστὴς ἀνθρώπων εὐλαβῶν, 20
εἰ καὶ τὴν ἀνθρωπίνην δίκην ἐκφεύξηται, ἀλλά γε τὴν ἀπὸ θεοῦ καταδίκην οὐ δύναται ἐκφυγεῖν.

XIII.

Τόπῳ τινὶ πρὸς ἄγραν ἐπιτηδείῳ κυνηγὸς ἐπιχωριάζων ἐθήρευεν. ἐν μιᾷ δὲ ἡμέρᾳ παραγενόμενος καὶ ἁπλώσας δίκτυον καὶ τοὺς κόκκους ἐντὸς ἀπορρίψας ἀπέστη· περιστερὰ δέ τις ἄλλων ἡγουμένη περιστερῶν, τοὺς κόκκους ἰδοῦσα, τὸ δὲ δίκτυον μὴ νοήσασα, ἐνέπεσεν εἰς αὐτὸ σὺν ταῖς ἄλλαις περιστεραῖς, καὶ ὁμοῦ συνειλήφθησαν. καὶ 5
δὴ ἀποδυρόμεναι τὴν ἑαυτῶν ἀπώλειαν, μὴ φοβεῖσθε, ἔφη ἡ τούτων κυρία. ἀλλὰ βοηθήσωμεν ἀλλήλαις, καὶ ἅμα πετάσαντες ἄρωμεν τὸ δίκτυον καὶ ἀποδράσωμεν. καὶ τούτου γενομένου, ἔθεον δι' ἀέρος. ὁ δὲ κυνηγὸς κατόπιν ἀκολουθῶν φόβον ὑπέβαλλε ταῖς περιστεραῖς· ἀλλ' ἡ πρώτη τούτων συνεβούλευεν αὐταῖς λέγουσα· δέον πρὸς τὰ 10
ὀρεινὰ καὶ δύσβατα ἀπονεῦσαι ἡμᾶς, τῶν δὲ πεδινῶν ἐκστῆναι· οὕτω γὰρ τὰ περὶ ἡμῶν ὁ κυνηγὸς ἀπογνούς, ὀπισθόρμητος ἀπελεύσεται. καὶ δὴ τούτου γενομένου, ὁ κυνηγὸς ἀπηγόρευσε καὶ ἀπέστρεψεν. ἡ δέ γε ὁδηγοῦσα αὕτη περιστερὰ μῦν ἐν ἐκείνῳ τῷ τόπῳ ἔχουσα φίλον, παρεγένετο πρὸς αὐτόν. καὶ ἐκεῖνος ἀσμένως αὐτὰς ὑπεδέξατο, τὸν δὲ 15
δεσμὸν θεασάμενος ἠνιᾶτο. καὶ ἡ περιστερὰ λόγοις ἠθικοῖς ἀνεκτᾶτο, ὅτι ὁ παρὼν βίος τὸ ἄστατον ἔχων ἄνω καὶ κάτω φέρει τὰ πράγματα, καὶ νῦν μὲν οὕτω, νῦν δὲ οὕτω κινεῖται τύχη καὶ εἱμαρμένη, καὶ μετατίθεται πρόνοια τοῦ ταῦτα παραγαγόντος θεοῦ· ἀλλὰ βοήθησον ἡμῖν, ὡς ἔχεις δυνάμεως. καὶ ὁ μῦς ἤρξατο κόπτειν τοῖς ὀδοῦσιν 20
αὐτοῦ τὸν δεσμὸν τῆς φίλης περιστερᾶς, τῶν ἄλλων μὴ ἐπιστρεφόμενος· ἐκείνη δὲ οὐκ ἠνέσχετο· ἀλλ', ἄρξου, ἔφη, πρῶτον τῆς ἐλευ-

---

XIII. *lin.* 2. cod. ἁπλῶσαι. — 2. cod. δύκτιον. — 5. συνειλήφθησαν P, cod. συνελείφθησαν. — 6. cod. ἀπωδυρόμεναι. — 7. πετάσαντες, così il cod. — 8. cod. δύκτιον. — 11. cod. πεδεινῶν.

θερίας τῶν ἄλλων, ἐμὲ δὲ πασῶν ὑστάτην ἐλευθερώσῃς, ὦ φιλτάτη· οὐ γὰρ δὴ δίκαιον ἐμὲ λυθῆναι, τὰς δὲ ὑπ' ἐμὲ τῷ δεσμῷ ἀποθανεῖν,
25 ἐπεὶ καὶ ὁ τὴν εἰς αὐτὰς ἐξουσίαν μοι δοὺς χρέος μοι ἐνέθηκεν παντὶ τρόπῳ προνοεῖν καὶ ὑπερασπίζειν αὐτῶν· καὶ ταῦτα, οὐδὲ ἀγνωμόνως αὐτὰς ὑπηρετεῖν ἐμὲ φωραθείσας ποτέ, καὶ νῦν δὲ ὀφθείσας εὐνουστάτας πρὸς ἐμὲ καὶ προκινδυνευσάσ⟨ας⟩ μου τῆς σωτηρίας. τῷ τοι οὐκ ἄν ποτε ἀνασχοίμην μίαν ἐξ αὐτῶν εἰς ἀπώλειαν ἐμπεσεῖν δι' ἐμέ.
30 καὶ ὁ μῦς τῶν τοιούτων ῥημάτων ἀκούσας ἐπείσθη μακαρίσας αὐτὴν τῆς νοήσεως, καὶ πάσας ἔλυσεν ἐκ τοῦ δεσμοῦ.

Ὁ μῦθος δηλοῖ ὅτι χρὴ τοὺς δεσπότας προνοεῖν τῶν ὑπηκόων, καὶ ὅτι τοῖς προνοητικοῖς δεσπόταις πολλὴ ὀφείλεται εὔνοια παρ' αὐτῶν δὴ τῶν ὑπὸ χεῖρα, καὶ ὡς πάσῃ δυνάμει πείθεσθαι τούτοις καὶ ὑπα-
35 κούειν ἄξιον.

XIV.

Κόραξ καὶ μῦς καὶ χελώνη φιλίαν ἔχοντα πρὸς ἄλληλα καὶ μίαν δορκάδα προσελάβοντο πρὸς τὴν φιλίαν αὐτῶν. οὐχ ὁμοῦ τοίνυν συνδιαιτώμενα, ἀλλ' ἕκαστον κατὰ τὸ οἰκεῖον ἔθος ἰδίᾳ νεμόμενον, συνήγοντο ὑπό τινι δένδρῳ συνηρεφεῖ, καὶ τῆς ἀλλήλων ὁμιλίας καὶ
5 παιδιᾶς εἰκὸς μετεῖχον. ἀλλ' ἔτυχε τὴν δορκάδα παγίσι θηρευτῶν συλληφθῆναι· ἀποληφθείσης οὖν τῆς συνήθους ὁμιλίας, ἤσχα⟨λ⟩λον περὶ αὐτῆς τὰ ἕτερα. διαπετάσας οὖν ὁ κόραξ καὶ περισκοπήσας εἶδε ταύτην κεκρατημένην, καὶ στραφεὶς ἀνήγγειλεν αὐτοῖς τὸ συμβάν· ἡ δὲ χελώνη τὸν μῦν παρεκίνησεν εἰς τὴν τῆς δορκάδας ἐλευθερίαν, καὶ ὁ μῦς ὡς
10 εἶχε τάχους κατέλαβε καί φησι πρὸς αὐτήν· πῶς φρωνιμοτάτη ὑπάρχουσα, φιλτάτη, τοιούτοις περιεπλάκης δεσμοῖς; καὶ ἡ δορκάς· καὶ τίς ποτε ἀπώνατο τῆς οἰκείας συνέσεως, τελουμένου τοῦ ὡρισμένου; ἐπεὶ δὲ μετ' ὀλίγον καὶ ὁ κόραξ καὶ ἡ χελώνη παρεγένοντο,

lin. 23. φιλτάτη, così il cod. — 24. ⟨ἐν⟩ τῷ δεσμῷ? P. — 27. cod. φωραθήσας. — 28. cod. προκινδυνεύσας. — XIV. 6. cod. ἤσχαλον. — 7. cod. κόρας. — 12-13. Sim., ed. at. p. 4, ha: ὅτε δεῖ τὸ ὡρισμένον τελεσθῆναι.

ἡ δορκὰς πρὸς τὴν χελώνην φησίν· διὰ τί σὺ ἐνταῦθα κατέλαβες; οὐκ οἶδας, ὅτι ἐγὼ μὲν λυθεῖσα ταχέως ἀποδραμοῦμαι, καὶ ὁ κόραξ 15 ὁμοίως ἐν ἀέρι ἀρθήσεται, ὁ δὲ μῦς καταδύσει τινὶ εἰσελεύσεται, αὐτὴ δὲ καταληφθεῖσα παρανάλωμα γενήσῃ τοῦ θηρευτοῦ; ἡ δὲ ὑπολαβοῦσα προσέφησεν· ἅπας βίος ἀβίωτός ἐστι χωρὶς τῶν φιλτάτων, ἀλλ' οὐδὲ ἑτέρα τις εὐφροσύνη τῶν φιλούντων ποτὲ καταλιμπάνεται χωρισθέντι τοῦ φιλουμένου. καὶ δὴ λυθεῖσα παρὰ τοῦ μυὸς ἡ δορκὰς 20 ἐξαπίνης ἐρ⟨ρ⟩ύσθη μετὰ τῶν φίλων, τῆς χελώνης μόνης διὰ βραδυτῆτα συλληφθείσης ἐκεῖ.

Ὁ μῦθος δηλοῖ ὅτι ἄξιον τοὺς ὄντας φίλους ὑπεραποθνήσκειν τῶν ἑαυτῶν πιστῶν φίλων, εἰ δεήσει, καὶ μηδὲ τῶν ἰδίων σωμάτων φείδεσθαι ὑπὲρ τῆς ἐκείνων ζωῆς. 25

XV.

Χελώνης ποτὲ ὑπὸ θηρευτοῦ συλληφθείσης, ἐχούσης φιλίαν πρὸς κόρακα καὶ δορκάδα καὶ μῦν, συνῆλθον καὶ τὰ δηλωθέντα ζῷα ὥστε σκέψασθαι τί δεῖ ποιεῖν ὑπὲρ τῆς φίλης· ἦν γὰρ αὕτη εἰδυῖα θεσμοὺς φιλίας τηρεῖν. πολλὰ τοίνυν βουλευσάμενα καὶ εἰπόντα σὺν λύπῃ, τέλος ἔφη ὁ μῦς, ὅτι συμφέρον ἐστὶ τὴν δορκάδα ἀπελθεῖν καὶ 5 μηχανῇ τὴν χελώνην ἐλευθερῶσαι· αὕτη γὰρ ταχυτάτη οὖσα τοὺς πόδας, εἰ παρὰ τὴν ὁδὸν ὕπτιος πεσεῖται καὶ δόξει νεκρά, ἰδὼν ὁ θηρευτὴς ἐπ' αὐτὴν δραμεῖται, καὶ μάλιστα εἰ καὶ ὁ κόραξ ἐπ' αὐτῆς καθίσει κατεσθίων δῆθεν αὐτήν. καθόσον δὲ πλησίον ὁ θηρευτὴς γίνεται, αὕτη προποδίζουσα βαδίζει σχολαίῳ ποδὶ πρὸς τὰ ἔμπροσθεν· 10 οὗτος γὰρ ἂν ῥίψας τὸ τόξον καὶ τὴν φαρέτραν ἐκδραμεῖται πλέον ὡς ἂν καταλάβοι, καὶ ἡ μὲν δορκὰς χρησαμένη τῇ ἑαυτῆς ταχύτητι ἀπαλλαγήσεται, ἐγὼ δὲ μέσον τούτου δραμὼν τοῦ δεσμοῦ τὴν χελώνην

lin. 19. ⟨τινὶ⟩ prima o dopo τῶν φιλούντων P. — 21. cod. ἐρύσθη, cf. xv. 18. — XV. 2. lacuna dopo συνῆλθον καί? ⟨ἐβουλεύσαντο⟩ o sim. cf. v. 4. P. — 7. ὕπτιος, così il cod. — 10. βαδίσει? P.

ἐλευθερώσω. καὶ τούτου ἀποβάντος, ἐρρύσθη δεσμῶν καὶ χειρὸς
15 θηρευτοῦ ἡ κρατηθεῖσα ἐκείνη βραδυτάτη χελώνη, καὶ φίλων βοηθείας ἀπώνατο.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ ἄριστοι φίλοι καὶ πιστότατοι ἐν καιρῷ περιστάσεως γνωρίζονται, εἰ τῶν ἰδίων φίλων ὀρθῶς ἀντέχονται.

XVI.

Ὄφις γήρᾳ καὶ ἀσθενείᾳ ἠτονηκὼς καὶ διὰ τοῦτο μὴ δυνάμενος θηρεῦσαι τὰ πρὸς τροφήν, ἐλθὼν παρὰ τὴν λίμνην ἐν ᾗ πρότερον κυνηγῶν ἔζη, ἔπεσεν ἐπ' αὐτῇ ὕπτιος. βατράχου δέ τινος αὐτὸν ἐρωτήσαντος τίνος χάριν πεσεῖται, ἔφη· πῶς ἂν μὴ σκυθρωπάσω καὶ
ὑγρόν, κατέχειν καὶ πεπαίνειν ἀναγκάζοντες τοὺς καρπούς. Ὑπερίδης
ἐχρήσατο τῇ λέξει· καὶ Ὅμηρος τὸ πρωτότυπον· « ἐπὶ δ' αἴγειον
κνῆ τυρόν ».

3. τούτου cioè τοῦ ὑγροῦ, che forse è andato perduto. —
6. ἀναγκάζει il cod.

Cfr. Migne II, 913. — Om. *Il.* XI, 639.

ὁ Ἀμὼς καὶ αἰγῶν ἦν νομεὺς καὶ κνίζων συκάμινα. τὸ δὲ 80
κνίζων ἀντὶ τοῦ φυτηκομῶν καὶ ἐπιμελούμενος τῶν συκαμίνων, καὶ

ἐπὶ τῷ ἀναθάλλειν τέχνῃ φυτηκοματικῇ κατασκευάζων. καὶ προφήτην τὸ Πνεῦμα εἰργάσατο.

2. φυτικομῶν cod. — 3. φυτικοματικῇ cod.
Amos VII, 14. — Cfr. Esichio s. v. κνίζων.

15. Μικρὸν ἐνταῦθα ἐπίσχες, καὶ διαπόρησον, πῶς διαιρήσεις τὸν λόγον. Ἔχει γάρ τι ἀμφίβολον ἡ λέξις, τῇ στιγμῇ διαιρούμενον.

81 οὐ γὰρ περὶ τοῦ τυχόντος δόγματός ἐστι τὸ ἀμφίβολον, ἀλλ' ἀναγκαῖόν ἐστι, ὡς ὁ Σταγειρίτης λέγει, τὸ ἀπορεῖν, περὶ ὧν ἀπορεῖν δεῖ. τὴν δὲ ἀπορίαν εἰσάγει καὶ τὸ ἀμφίβολον, φησίν, ἡ στιγμή, κτέ. Γ^ε.
Scolio aggiunto in margine assieme con altri. V. *Prefazione*, § 1.

17. Ἡ μὲν γὰρ εἰς Αἴγυπτον καὶ Βαβυλῶνα περίγραπτός τε ἦν, καὶ πάλαι τῇ ἐπανόδῳ λέλυτο. Ἡ δὲ ὑπὸ Ῥωμαίων οὔπω γεγένητο, ἔμελλε δὲ, εἴσπραξις οὖσα τῆς κατὰ τοῦ Σωτῆρος θρασύτητος.

82 περίγραπτός τε ἦν, τουτέστι μικρά, μερική, εὐπερίγραφος· περιγραφή, ὤφειλεν εἰπεῖν. εἴσπραξις, τιμωρία, ἔκτισις.
Cfr. lo scolio n° 91.

Oraz. XLII.

Εἰς τὸν συκτακτήριον.

83 Ὑπὸ τὸ πανηγυρικὸν εἶδος ἀνάγεται καὶ οὗτος ὁ λόγος, ὥσπερ οἱ προπεμπτήριοι καὶ ἐπιβατήριοι καὶ οἱ συντακτικοὶ οὗτοι, τουτέστι συντακτήριοι· πλεονάζει γὰρ τοῖς ἐπαίνοις τοῦ λέγοντος καὶ τῆς πόλεως καί τινων ἱερατικῶν προσώπων καὶ λαϊκῶν· κἂν ἐσχημάτισται ταῖς μεθόδοις μετὰ βαρύτητος, ὡς ἐνίοτε καὶ ἑαυτὸν ψέγοντα ἐπαινεῖν, καὶ ἑτέρους ἐπαινοῦντα ψέγειν. ἔστι δὲ οὐ καὶ ἀσχηματίστως ὁ λόγος προάγει τὸν ἔπαινον, καὶ ἀπερικαλύπτως καὶ σφοδρῶς τοὺς

ψόγους καὶ τὰς λοιδορίας ἐκφέρει· ἅτινα πανηγυρικοῦ ἴδια πάντα καθέστηκεν. τὸ δὲ προοίμιον ἐπιεικείας σὺν εἰρωνείᾳ πλεκόμενον.

1. Πῶς ὑμῖν τὰ ἡμέτερα, ὦ φίλοι ποιμένες καὶ συμποιμένες;

πῶς παρ' ὑμῖν τὰ καθ' ἡμᾶς ἔχει; φησίν. Δημοσθένης· « πῶς 84 ὑμῖν » φησίν « ὑπὸ τῶν χρηστῶν τούτων ἔχει τὰ πράγματα; »

1. Ἀρά γε συνίετε παρ' ὑμῶν αὐτῶν, καὶ καταμανθάνετε, καὶ λογισταὶ τῶν ἡμέτερων ἐστὲ χρηστότεροι;

λογισταί... λέγονται οἱ παρ' ἡμῶν λογαρισταὶ οὕτω κα- 85 λούμενοι. B.

1. λέγεται il cod.

Cfr. Esichio s. v. λογιστής, e Thes. Steph. s. v. λογαριαστής.

2. Καὶ σκυθρωπή τις σκοτόμαινα ἐπέλαβε πάντα καὶ συνεκάλυψε, πολὺ τῆς ἐνάτης [ἐννάτης cod. L. IV, 13] τῶν Αἰγυπτίων πληγῆς βαρυτέρα, τοῦ ψηλαφητοῦ λέγω σκότους, ὑφ' οὗ μικροῦ δεῖν [om. δεῖν? cod. L. IV, 13] μηδὲ ἀλλήλους ἰδεῖν ἐδυνήθημεν.

τῆς ἐννάτης τῶν Αἰγυπτίων πληγῆς· ψηλαφητὸν δὲ 86 σκότος ἐκεῖνο ἐλέγετο ἐκ τοῦ ψηλαφητῶς ἐκ τόπου εἰς τόπον κινεῖσθαι τοὺς Αἰγυπτίους, μήτε ἡλίου ἐν ἡμέραις τρισὶ φαίνοντος, μήτε τῶν ἀστέρων καὶ τῆς σελήνης ἐν νυξίν· ἀλλὰ καὶ τὸ διακονικὸν παρ' ἡμῖν τοῦτο πῦρ καὶ μεθ' ὕλης φαῖνον τῷ τοῦ ἀέρος ζόφῳ καὶ τῇ πυκνότητι ἀπεσβέννυτο, τὰ τοῦ φωτὸς μὴ ἐνεργοῦν, εἰ μὴ μόνον τῆς καύσεως· ὡς ἐν τῷ βίῳ τοῦ Μωϋσέως Φίλων ὁ τῶν Ἑβραίων σοφώτατος ἱστορεῖ.

6. ἐνεργῶν il cod.

Filone Ebr. Vita Moys. I, § 21.

μικροῦ· ἀττικῶς ἀντὶ τοῦ, μικροῦ δέοντος, τουτέστι παρὰ 87 μικρόν, ὡς τοῦ βραχυτάτου λείποντος.

Cfr. Esichio s. v. μικροῦ, e Fozio s. v. μικροῦ δεῖν e μικροῦ δέω.

3. Διὰ τοῦτο ἀπολογήσομαι, πλὴν κρίματα λαλήσω πρὸς σὲ, φησὶν Ἱερεμίας.

88 πλὴν κρίματα λαλήσω· ἤτοι κατακρίσεις ἐμαυτῷ, ὡς ἀντιφθέγξασθαι ὅλως τολμήσας· ἤ, ἀκροάσματα (?) γάρ, φησίν, ἐρῶ καὶ ἐξετάσεις, τὰ σὰ κρίματα καὶ τὰς οἰκονομίας διερευνώμενος. διάφορος γὰρ ἡ σημασία τοῦ κρίματα. πῇ μὲν γὰρ τὸ κατάκριμα καὶ τὴν καταδίκην σημαίνει· « κρῖμα ἑαυτῷ, ἐσθίει καὶ πίνει ». πῇ δὲ τὴν κρίσιν καὶ τὴν δίκην· « καὶ κρῖμα δίκαιον κρινεῖς ». κρίματα δὲ καὶ τοὺς ἐξητασμένους τοῦ θεοῦ λόγους καὶ κεκριμένως ῥηθέντας· κρίματα οὖν καὶ αἱ ἀκριβεῖς ἐξετάσεις.

2. ἀντιφθέγγξασθαι il cod. — 3. ἀκρυσματα così il cod.

Cfr. Esichio s. v. κρίματα.

3. Ὁ δεύτερος, οὐδὲν ἐκείνου φιλανθρωπότερος, ὅτι μὴ καὶ βαρύτερος.

89 Οὐάλεντα λέγει τὸν Οὐαλεντινιανοῦ ἀδελφόν, ὃν καὶ βαρύτερον τοῦ προτέρου Ἰουλιανοῦ εἶπεν. τὸ δὲ ὅ⟨τι⟩ μὴ καὶ βαρύτερος τὸ μᾶλλον βαρύτερος σημαίνει, ἵν' ᾖ τὸ ὅτι ἀντὶ τοῦ εἰ· πολλάκις γὰρ ἀντιμεταλαμβάνεται ταῦτα. Ἑρμογένης ἐν τῇ Τέχνῃ· « μὴ τοῦ πατρός ἐστιν ἡ ναῦς, ἀντὶ τοῦ οὐ τοῦ πατρός ». Β.

2. ὃ invece di ὅτι il cod.

90 Οὐάλης δηλονότι. ὅτι μὴ καὶ βαρύτερος· τὸ ὅτι ἀντὶ τοῦ εἴθε. τί, φησί, λέγω φιλανθρωπότερον Ἰουλιανοῦ τὸν Οὐάλεντα; εἴθε, ἵνα μὴ καὶ βαρύτερος ἦν. Γ.

3. Τί ἄν τις ἐκτραγῳδοίη πάντα τὰ τοῦ καιροῦ κακὰ, καὶ τὴν τότε κατασχοῦσαν ἡμᾶς, εἴτε εἴσπραξιν χρὴ λέγειν, εἴτε δοκιμασίαν καὶ πύρωσιν;

91 εἴσπραξίς ἐστι ἁμαρτημάτων ἔκτισις, δι' ἧς ἁμαρτολοὶ κολάζονται.

Cfr. lo scolio nº 82.

4. Τοιοῦτον ἡμῶν τὸ γεώργιον, τοσοῦτον τὸ θέρος· οὐ μὴν

γνωριζόμενον τοῖς πολλοῖς, οὐδὲ εἰς ἓν συναγόμενον, ἀλλὰ κατὰ μικρὸν συλλεγόμενον, ὡς καλάμη ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλὶς ἐν τρυγητῷ, μὴ ὑπάρχοντος βότρυος. Προσθήσειν μοι δοκῶ κἀκεῖνα, καὶ λίαν κατὰ καιρόν, ὡς συκῆν [Tres Regg., Or. 2, etc., ὡς σκοπόν, e così pure L. IV, 13] ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, καὶ ὡς ῥάγα μίαν ἢ δευτέραν ὥριμον ἐν ἀώρῳ τῷ βότρυϊ, εὐλογίαν μὲν Κυρίου τετηρημένην, καὶ ἀπαρχὴν καθιερωμένην, πλὴν ὀλίγην ἔτι καὶ σπάνιον, καὶ οὐ πληροῦσαν στόμα ἔσθοντος. καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ, καὶ ὡς ἱστὸν ἐπ' ὄρους, ἢ εἴ τι ἄλλο τῶν μοναδικῶν τε καὶ οὐ πλείοσι θεωρουμένων.

ὡς καλάμη ἐν ἀμήτῳ. Ἡσαΐας· « ἔσται ὃν τρόπον, ἐάν τις συνάξῃ ἀμητὸν ἑστηκότα καὶ συναγάγοι στάχυν, καὶ καταληφθῇ καλάμη ». καλάμη δέ ἐστιν ὁ ἀπὸ τῆς ῥίζης μέχρι τοῦ στάχυος αὐτοῦ γόνασι συνεχέσι συνεζωσμένος, οὗ τὸ καταλειπόμενον ὑπὸ τῶν θεριζόντων, ἡ παρ' ἡμῖν καλαμήστρα, καλάμη νῦν εἴρηται. Βαρυτόνως ἀναγνωστέον, ἐν ἀμήτῳ, καὶ ἐν τρυγήτῳ· οὕτω γὰρ ἐπὶ τοῦ καιροῦ εἴποις. αὐτὸ δὲ τὸ θεριζόμενον καὶ τὸ τρυγώμενον ὀξυτόνως ἐρεῖς· τὸ γὰρ ἐν τῷ ῥητῷ τῷ προκειμένῳ αὐτὸ τὸ ἀμώμενον καὶ θεριζόμενον σημαῖνον ἀμητὸν ὀξυτόνως ἀνέγνωμεν. Ἐπιφυλλὶς δὲ ἡ ἐν τῷ τρυγήτῳ, ἐν τοῖς φύλλοις λανθάνουσα, ἢ καὶ διὰ τὸ ἄωρον καταλιμπανομένη μικρὰ σταφυλή. 92

Isaia XVII, 5-6. — Cfr. scol. Piccolomini nº 164 (Suida s. v. ἐπιφυλλίδα. Cf. Esichio, Et. m., Zonara).

κατὰ καιρόν· εὐκαίρως, ἐπιτηδείως. 93

ὡς σκοπὸν ἐν ἐρήμῳ. σκοπός ἐστιν ὁ ἐν ὑψηλῷ καὶ ἀπόπτῳ ἱστάμενος καὶ περισκοπῶν πολεμίων ἔφοδον, ἔστιν ὅτε ἢ καὶ ἐν ἐρήμῳ προπορευόμενος στρατοῦ, ἢ καί τινων ὁδοιπόρων, ᾧ στοιχοῦσιν ἑπόμενοι οἱ ἀκολουθοῦντες. Ταῦτα δὲ ἀπὸ τῶν παλαιῶν εἰς τὰ κατ' αὐτὸν καὶ τὴν Ἐκκλησίαν μεταφέρει πάνυ προσφόρως ὁ πάνσοφος. 94

καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ. σημαίας (Ἰταλοί, τὰ σίγνα καὶ τὰ λεγόμενα βάνδα) καλοῦσι τὰ ἐν ταῖς τάξεσιν ἐπίσημα, ἃ κοντοῖς ἤρτηται ἀετῶν ἢ λεόντων ἢ δρακόντων ὑφάσμασι ποικίλοις. 95

καὶ παρασήμοις κατάστικτα ἑκάστην τῶν τάξεων παραδηλοῦνται. ἐπὶ βουνῶν καὶ ἐπηρμένων ἱστῶσι τόπων πρὸς τὸ πᾶσι κατάδηλα εἶναι. ἱστὸν δέ, ἤτοι ξύλον ὀρθὸν εἰς σημείου τύπον ἱστάμενον, ἢ ἱστὸν δίκτυον πεπλεγμένον καὶ οἷον ἐξυφασμένον, στάλιξιν ἠρτημένον θήρας ἕ(ν)εκα, ὃ ἀλλαχοῦ ῥητῶς, « ὡσεὶ δίκτυον » λέγει « τεταμένον ἐπὶ τὸ Ἰταβύριον », ὅπερ ὄρος ἐστὶ Παλαιστίνης. ταῦτα δὲ πάντα, ὡς καὶ αὐτὸς σημειοῦται, τῶν μοναδικῶν ἐστιν ἐν ὄρεσι καὶ βουνοῖς καὶ ἐρημίαις ἱστάμενα, τὰ μὲν σκοποῦ καὶ σημείας, τὰ δὲ θήρας ἕνεκεν.

8. τατάμενον il cod. — 11. ἱστάμενον il cod.

96 ἀμητὸς αὐτὸ τὸ ἔργον τοῦ θερισμοῦ, ἄμητος ἡ ἤδη θερισθεῖσα χώρα. ἅπερ ὁ προφήτης Ἡσαΐας περὶ τῆς τῶν Ἰουδαίων ἀπωλείας εἴρηκεν, εἰς τὴν ἑαυτοῦ ὑπόθεσιν παροδείας σχήματι ἄγει ὁ πάνσοφος· καὶ φησίν, ὅτι ὥσπερ σπάνιοι οἱ καταλιμπανόμενοι στάχυες τοῖς θερίζουσι καὶ ἐν τρυγήτῳ αἱ ἐπιφυλλίδες, ἤγουν οἱ σμικρότατοι βότρυες καὶ ἄωροι, οὕτως τῇ Ἐκκλησίᾳ ἐνέτυχον. ἐπιμένει δὲ ταῖς τροπικαῖς τοῦ προφήτου λέξεσι, τὸ βραχὺ τῶν ὀρθοδόξων δεῖξαι βουλόμενος· ὅτι, καὶ ὡς σκοπόν (ἀντὶ τοῦ σημάντορα) καὶ ὡς ῥάγα μίαν ἢ δευτέραν ἀώρου βότρυος, καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ (ὅ ἐστι στρατοπέδου σίγνον καὶ σύνθημα, ὅπερ ἡ κοινὴ χρῆσις βάνδα καλεῖ) καὶ ὡς ἱστὸν ἐπ' ὄρους (ὅ ἐστι καταρτίου εἶδος) καὶ ἄλλο ὅπερ μοναδικῶς καὶ οὐ συμπλείοσι θεωρεῖται, οὕτως εὕρετο ἐν Κωνσταντινουπόλει μέρος τῶν ὀρθοδόξων.

3. παροδίας il cod.

5. Ἐκτὸς γὰρ τῶν κατὰ τὴν ὁδὸν θαυμασίων, καὶ τῆς μεγάλης ἐκείνης βομβήσεως, ἵν' εἴπω τι συντομώτατον, Ἰωσὴφ εἰς Αἴγυπτον εἷς καὶ μυριάδες ἑξήκοντα μετ' ὀλίγον ἐξ Αἰγύπτου.

97 τὴν ὑπερβολὴν τῶν θαυμασίων καὶ τὴν ἐπὶ πάντας γεγενημένην φήμην αὐτῶν καὶ τὸν θροῦν τῶν καταπτοηθέντων ἐθνῶν, βόμβησιν εἶπεν. εἴρηται ἀπὸ τῶν μελισσῶν.

98 ὁδοῦ θαύματα καὶ βόμβησιν, ἤτοι μέγαν κτύπον καὶ ἦχον

μελισσῶν, τὴν ἔξοδον τῶν Ἰσραηλιτῶν ἐξ Αἰγύπτου καλεῖ, κατὰ τὸ παραλήψεως σχῆμα, εἰσαγαγεῖν καὶ ἕτερα βουλόμενος θεοῦ θαύματα.

7. Πλάτυνον τὰ σχοινίσματά σου ἔτι· ἐκπέτασον εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερά· πῆξον, τῶν αὐλαιῶν μὴ φείσῃ.

σχοῖνος σπαρτίον ἐστὶ μετρικὸν οὐ σμικρόν, ἐξ οὗ καὶ τὰ μετρούμενα τῶν χωρίων σχοινίσματα κέκληται. πλάτυνον οὖν, καὶ ὡς ἐν σχοίνῳ καὶ μέτρῳ πολλῷ τὰς τῆς σκηνῆς ἔκτεινον δέρ(ρ)εις, φησίν. 99

αὐλαία τὰ παραπετάσματα λέγονται τῆς σκηνῆς. 100

Cfr. Esichio s. v. αὐλαία.

πήξας . . . ἐν βάθει τοὺς σκόλοπας καὶ πασσαλίσκους, φησίν, ἐπὶ πολὺ τὰ παραπετάσματα τῆς σκηνῆς μὴ φειδόμενος ἔκτεινον. ἡ δὲ βαρύτονος καὶ πολλὴ φερομένη τάσις ἔχει μέν τινα λόγον ἀπὸ τῆς ὁμηρικῆς χρήσεως τῆς « αὖλιν ἔθεντο », ἀλλ' οὐκ ἐπὶ τῆς τοιαύτης εὑρίσκεται σημασίας ἐκείνη· τὸν γὰρ αὐλισμὸν τῶν Τρώων, οὐχ ἁπλῶς σκηνὴν ἤ τι τῶν ταύτης ὑποσημαίνει μερῶν. 101

Om. *Il.* IX, 233.

7. Σὺ δέ μοι περιείχου τῶν τοίχων, καὶ τῶν πλάκων, καὶ τῆς κεκομψευμένης ψηφῖδος, καὶ τῶν μακρῶν δρόμων καὶ περιδρόμων, καὶ χρυσῷ κατελάμπου καὶ περιελάμπου, τὸν μέν, ὡς ὕδωρ ἔσπειρες, τὸν δέ, ὡς ἄμμον ἐθησαύριζες.

παροιμία ἐστὶ πρὸς τοῖς ἀνοήτοις ἐπιχειροῦσιν (sic) εἰς ὕδωρ σπείρειν καὶ ἄμμον θησαυρίζειν. ὁμοίως διὰ τὸ ἄκρηστον. 102

7. κρείσσων ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας, καὶ πλέους Θεῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι Κυρίου, πολλῶν μυριάδων ἀρνουμένων θεότητα.

τῶν διὰ τὸν διωγμὸν μὴ ἐχόντων ἐκκλησίαν πιστῶν, ἀλλ' ἐν ὑπαίθροις τὰς μυσταγωγίας τελούντων, ὕπαιθρον πίστιν εἶπεν. ὕπαιθρον λέγεται καὶ τὸ ἀπερικάλυπτον καὶ καταφανὲς καὶ ἀνυπόκριτον. 103

τὸ εἷς καὶ τρεῖς καὶ πολλοὶ πρός τι ὄντα, πρὸς γὰρ ἄλλο καὶ 104

ἄλλο λέγεται τὰ τοιαῦτα, οὕτως νοήσεις. ἔστι γὰρ εἶναι τὸ τρεῖς, ἀριθμῷ μὲν καὶ ποσῷ ὀλίγα, ποιότητι δὲ καὶ τιμιότητι πολλά· ὁμοίως δὲ καὶ τὸ πολλά, ποσῷ μὲν καὶ ἀριθμῷ πολλά, τιμιότητι δὲ καὶ ποιῷ ὀλίγα. οὕτω τοίνυν κανονιστέον τὰς τοιαύτας περικοπὰς τοῦδε τοῦ λόγου, ἐπί τε τῶν ὀλίγων ὀρθοδόξων καὶ τῶν πολλῶν ἐκείνων αἱρετικῶν τῷ τιμίῳ νοῶν καὶ ἀτίμῳ. καὶ Ἡσίοδος, « πλέον » φησίν « ἥμισυ παντός ».

Esiodo Ἐ. καὶ Ἡ. 40.

8. ἐπεὶ δὲ τῆς ἀξίας διαμαρτεῖν ἀναγκαῖον, ὃ δεύτερόν ἐστιν, αἰτῶ παρ' ὑμῶν τὴν εὐσέβειαν, τὸν κοινὸν πλοῦτον ἐμοὶ καὶ ὁμότιμον, ἐν ᾧ τυχὸν ὑπερβαλεῖται καὶ τὸν λίαν λαμπρὸν ὁ πάνυ πένης, ἂν ᾖ μεγαλόψυχος.

105 λαμπρόν· τὸν περιφανῆ, τὸν ἔνδοξον, καὶ πλούσιον· οὕτω γὰρ ἐκ τοῦ ἀντικειμένου νοεῖται, τοῦ πένητος. ὁμοίως καὶ μεγαλόψυχον, Ἀριστοτέλης μέν, τὸν δυνάμενον καλῶς εὐτυχίαν καὶ ἀτυχίαν ὑπενεγκεῖν, καὶ μὴ θαυμάζοντα τρυφὴν ἢ τὰ τοῦ κόσμου ἡδέα, ἔχοντα δὲ βάθος ψυχῆς καὶ σώματος, ᾧ ἀκολουθεῖ ἁπλότης τε καὶ ἀλήθεια.

9. Ὁδοιποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, ἵνα μηδὲν ᾖ σκῶλον, μηδὲ κώλυμα τῷ λαῷ τῆς θείας ὁδοῦ καὶ εἰσόδου.

106 σκῶλον· πρόσκομμα, σκόλοπα· ἀπὸ τοῦ σκέλλω. B.

Cfr. scolio n° 115.

9. Ἐν οἷς ἐστὲ καὶ ὑμεῖς, κλητοὶ ἅγιοι . . . . σχοίνισμα Κυρίου τὸ κράτιστον.

107 σχοίνισμα· κλῆρος· ἐκ μεταφορᾶς τῆς σχοινίῳ μετρουμένης καὶ διαμοιραζομένης γῆς.

Cfr. Migne II, 469, nota 88.

108 σχοίνισμα μέτρον λέγεται γῆς.

Cfr. scolio n° 99.

14. Ὥσπερ γὰρ τῶν βρυχίων [ὑποβρυχίων cod. L. IV 13 nel lemma] ὑδάτων, τὰ μὲν ἐν βάθει κρύπτεται παντελῶς, τὰ δὲ παφλάζει στενοχωρούμενα, καὶ τὴν ἔκρηξιν ὑπισχνεῖται μὲν ταῖς ἀκοαῖς, μέλλει δὲ ἔτι, τὰ δὲ καὶ ἀναῤῥήγνυται· οὕτω κτέ.

βρύχια ὕδατα λέγονται τὰ ὑπὸ γῆν ἐσφιγμένως διερχόμενα 109 καὶ ἦχον ἄνωθεν ἀποτελοῦντα στενοχωρούμενα, ὡς ἐξακούεσθαι διὰ τὸ μὴ παχεῖαν καὶ πλείστην γῆν ἐπικεῖσθαι τοῖς ὑπὸ γῆν ὀχετοῖς· ἅτινα μὲν τῷ βρυχήματι ὑπισχνεῖται τὴν ὑπὲρ γῆν ἔξοδον, τὰ δὲ οὔπω. ἐν τισι δὲ τόποις καὶ τῆς γῆς ἀναρρήγνυται.

15. Ἓν μὲν οὖν καὶ σύντομον πρόγραμμα τοῦ καθ' ὑμᾶς λόγου, καὶ οἷον στηλογραφία τις πᾶσι γνώριμος, ὁ λαὸς οὗτος, γνήσιος ὢν τῆς Τριάδος προσκυνητής.

πρόγραμμα τὸ καὶ πρόθεμα καλούμενον, τουτέστιν ἡ ἐκ 110 βασιλέως πρόσταξις ἔγγραφος δημοσίᾳ ἀνατεθειμένη.

16. Ὡς ταῦτά γε τοῦ πονηροῦ παίγνια, κακῶς τὰ ἡμέτερα ταλαντεύοντος.

ταλαντεύοντος· σταθμίζοντος, ζυγοστατοῦντος ἢ ἑτερο- 111 ζυγοῦντος.

Cfr. Esichio s. v. ταλαντεύει e Migne II, 908.

16. Αὐτοὶ δὲ τὴν μέσην βαδίζοντες καὶ βασιλικὴν, ἐν ᾧ καὶ τὸ τῶν ἀρετῶν ἕστηκεν.

τὴν μέσην... ἐν ᾧ· λείπει ὁδόν, ἵν' ᾖ τὴν μέσην 112 ὁδόν. ἔδει δὲ ἐπενεγκεῖν ἐν ᾗ, ὁ δὲ οὐχ οὕτω φησίν, ἀλλ' ἐν ᾧ, οὐ πρὸς τὴν φωνήν, ἀλλὰ πρὸς τὸ σημαινόμενον ἀπαντῶν· εἰ γὰρ θηλυκὰ τὰ προκείμενα τῇ φωνῇ, τῷ μέντοι σημαινομένῳ οὐδέτερά ἐστιν.

4. θυλυκὰ il cod.

17. Εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, τοῦτο δὲ δι' ἐμὲ (ἡ πυράγρα διὰ τὴν ἅμαξαν, ἢ ὁ πρίων διὰ τὴν θύραν), νικῶ τῇ αἰτίᾳ.

113 τινὲς περίγραν γράφουσιν, ἵν' ᾖ διαβήτην, δι' ἧς οἱ τροχοὶ περιφερεῖς ἀποτελοῦνται· πυράγρας γὰρ οὐδεμία πρὸς ἁμάξης κατασκευὴν χρεία. ἔστι δὲ βοηθῆσαι καὶ τῇ κρατούσῃ γραφῇ, ἐπεὶ καὶ πυράγραις ἐπὶ ταῖς σιδηροτρόχοις ἁμάξαις χρῶνται, περίγραις δὲ ἐπὶ ταῖς ξυλίναις.

114 [marg. lat. est. γρ. περίγρα] πυράγρα ἡ λαβὶς τῶν ἀνθράκων. εἴρηται καὶ περίγρα, ὁ παρὰ τοῖς πολλοῖς λεγόμενος διαβήτης, τὸ τὸ περιφερὲς τοῦ τροχοῦ τῶν ἁμαξῶν κυκλοτερὲς ποιοῦν ἐργαλεῖον.

3. ἐργαλίον il cod.

18. Ἡμεῖς δὲ ταῖς θείαις Γραφαῖς ἑπόμενοι, καὶ τὰ ἐγκείμενα σκῶλα τοῖς τυφλώττουσι λύοντες, τῆς σωτηρίας ἐξόμεθα, πάντα τολμῶντες πρότερον, ἢ κατὰ Θεοῦ τι νεανιεύεσθαι.

115 σκῶλα τὰ ἐμπόδια λέγεται καὶ τὰ προσκόμματα, ἀντὶ τοῦ δυσερμήνευτα, δυσέκφραστα, δυσδίδακτα.

18. Καὶ τὰ ἐκ τῆς Γραφῆς προσκόμματα λύειν καὶ διαρθροῦν, οὐ τοῦ παρόντος καιροῦ.

116 διαρθροῦν. ἐκ τῶν ἄρθρων ἡ μεταφορά, δι' ὧν τὰ γένη διακρίνεται, οὐ τῶν ὀνομάτων μόνον, ἀλλὰ καὶ τῶν ζώων· ἢ ἀπὸ τῶν ἐν σώματι ἄρθρων τῶν ἀλλήλοις ἠρτημένων καὶ τὸ ὅλον ἀποτελούντων.

117 τὸ διαρθροῦν ἀντὶ τοῦ χωρίζειν ἑρμηνεύει. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν ἐν ἡμῖν ἄρθρων τῆς ἁρμονίας χωριζόντων (sic).

19. Οὐ βοῦν ὑμῶν εἴληφα, φησὶν Σαμουὴλ ὁ μέγας, πρὸς τὸν Ἰσραὴλ ὑπὲρ τοῦ βασιλέως διαφερόμενος· οὐ ψυχῶν ὑμῶν ἐξίλασμα μάρτυς Κύριος ἐν ὑμῖν· οὐ τὸ καὶ τό, πλείονα λέγων, ἵνα μὴ αὐτὸς ἀπαριθμῶμαι καθ' ἕκαστον· ἀλλὰ καθαρὰν καὶ ἀκίβδηλον τὴν ἱερωσύνην ἐφύλαξα.

118 ἐξίλασμα. αἱ ὑπὲρ ἁμαρτιῶν θυσίαι θεῷ προσφερόμεναι ἐξίλασμα ἐκέκληντο, ὡς τὸν θεὸν ἐξιλεούμεναι πρὸς ἔλεον. τὸ δὲ ἀκίβδηλον εἴρηται ἐξ ἱστορίας τὰ κακυνόμενα πάντα· ἢ γὰρ τῇ

ὕλῃ τὸ κακύνεσθαι ἔχουσιν, ἢ τῷ εἴδει· τὰ οὖν νομίσματα, τὰ μὴ ἐξ ὕλης καθαροῦ χρυσοῦ ἢ νενοθευμένην τὴν ἐπιγραφὴν ἔχοντα χιαδῶς ἐχάραττον, καὶ ἐκ τούτου τὰ ἀδόκιμα νομίσματα ἐκάλουν κίβδηλα, τροπῇ τοῦ χ̄ εἰς κ̄. τὰ δὲ τὸ στερητικὸν ᾱ λαμβάνοντα, δόκιμα χρήσει τοῦ βίου καὶ τῷ νόμῳ τῆς ἐμπορείας, ἀκίβδηλα ἔλεγον.

5. χι῀δῶς il cod.

Cfr. Migne II, 904 (inf.), e scolii ad Aristofane, *Uccelli*, 158.

21. ὥστε καὶ εἰς ἀντίπαλον μοῖραν ἀποκριθῆναι τότε Ἑῷον καὶ τὸ Ἑσπέριον, καὶ κινδυνεύειν τῆς γνώμης οὐχ ἧττον ἢ τῶν περάτων ταῦτα γενέσθαι τμήματα.

τὸ κινδυνεύειν ἐλέγχεσθαι καὶ δείκνυσθαι νῦν σημαίνει. 119 Δημοσθένης κατὰ Μειδίου· « ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχὲς ἐνίοτε ἐπαχθεῖς ποιεῖν ». καὶ ἐπὶ ἀγαθοῦ δὲ εἴληπται, ὡς Ἑρμογένης ἐν τῇ Τέχνῃ· « οὐ κατὰ δύναμιν τὴν ἐν δεινότητι, ἐκεῖ γάρ » φησίν « κινδυνεύει τὰ πρῶτα φέρεσθαι. » ἀντὶ τοῦ προτετίμηται, προκέκριται.

2. εὐτυχεῖν Dem. ed. B. e Sauppe. — 4. τῆς invece di τὴν il cod.

Demost. κατὰ Μειδίου 205.

22. καὶ ὑπ' ἄλλοις προσώποις τὰς ἡμετέρας ἐκπληροῦμεν φιλονεικίας, κακοὶ γινόμεθα τῆς φιλοτιμίας διαιτηταί, καὶ κριταὶ τῶν πραγμάτων ἀγνώμονες.

διαιτηταί· διαιτηταὶ λέγονται οἱ ὑπεράνω τῶν ν' νομισμάτων δίκας κρίνοντες, ὡς εἶναι τοὺς διαιτητὰς μεγίστους κριτάς. 120

22. Εὐρίπων μεταβολαί τινες, ἢ ἀμπώτιδες.

κυρίως ἡ τῆς θαλάσσης ἀναχώρησις καὶ οἷον ἀναπινομένη 121 θάλασσα ἄμπωτις καλεῖται· ἀνάπωσις γάρ ἐστιν· ἀλλὰ καὶ ἡ ἀναδιδομένη καὶ ὥσπερ ἐξεμουμένη. Διονύσιος ἐν Περιηγήσει·

« ἄλλοτε μὲν πλημμυρὶς ἐγείρεται, ἄλλοτε δ' αὖτε
ἄμπωτις ξηρῇσιν ἐπιτροχάει ψαμάθοισιν. »

καταχρηστικῶς δὲ καὶ ἐπὶ σώματος ἡ ἐκ τῆς ἐπιφανείας πρὸς τὸ

βάθος ὑποχώρησις τῆς ὕλης, ὡς Ἡρωδιανὸς ἐν Λέξεσιν Ἱπποκράτους. ὁ δὲ Στράβων ῥοώδεις μέν φησιν εἶναι τοὺς εὐρίπους, μάλιστα δὲ * τὴν Σικελίαν, καὶ ὁμοιοπαθεῖν ταῖς κατὰ τὸν Ὠκεανὸν πλημμυρίσι, καὶ δὶς μεταβάλλειν τὸν ῥοῦν ἑκάστης ἡμέρας καὶ νυκτός, καθάπερ τὸν Ὠκεανὸν ἀρχόμενον περὶ τὴν ἀνατολὴν καὶ τὴν δύσιν, λήγει δὲ μεσουρανήσει ἑκατέρᾳ, τῇ τε ὑπὲρ γῆς καὶ ὑπὸ γῆς· αἱ δὲ ἀμπώτιδες τοὐναντίον, μεσουρανήσεσιν ἑκατέραις ἐναρχόμεναι, ταῖς δὲ συνάψεσι ταῖς πρὸς ἀνατολὰς καὶ δύσεις παυόμεναι. δὶς οὖν οὗτος μεταβάλλει· ὁ δὲ Χαλκιδικὸς ἑπτάκις τρέπεται εὔριπος. εἴρηται δὲ ἀπὸ τοῦ ῥιπίζω ὁ εὐρίπιστος καὶ εὐχερῶς μεταβαλλόμενος.

8. μάλιστα δὲ * τὴν Σικελίαν, mancano le parole τὸν κατὰ che sono in Strab. — 13. ἄμπωτις il cod.

Dionysii orb. descr. 202-3. — Strabone (C. Müller e F. Dübner — Didot) p. 45, 45 e p. 346, 27.

122 εὔριπος τόπος ἐστὶν ἐν τῇ Ἀττικῇ· ἄμπωτις δὲ ἡ τοῦ ὕδατος ἀναρρόφησις, οἷον ἀναποτισίς τις καὶ ὑπονόστησις καὶ ὑποχώρησις τοῦ ὕδατος ἔκ τε πελάγους πρὸς τὴν γῆν καὶ ἐκ γῆς πρὸς τὸ πέλαγος, οἱ μὲν ἑπτάκις λέγοντες τῆς ἡμέρας γίνεσθαι, οἱ δὲ ἀτάκτως πλέον ἢ ἔλασσον.

2. ἀναρόφησις il cod.

22. Ὥστε οὐκ ἂν θαυμάσαιμι οὐδὲ τοῦτο, εἰ καὶ δεθείην, ὡς δύσχρηστος, καὶ ἀνοηταίνειν δόξαιμι τοῖς πολλοῖς, ὅ τις λέγεται τῶν παρ' Ἕλλησι φιλοσοφησάντων παθεῖν, ἐγκληθεὶς ὡς μανίαν τὴν σωφροσύνην, ὅτι διεγέλα τὰ πάντα, γέλωτος ὁρῶν ἄξια τὰ τοῖς πολλοῖς σπουδαζόμενα.

123 Δημόκριτος καὶ Ἡράκλειτος φιλόσοφοι φυσικοί, οἳ καὶ τὴν τοῦ βίου ἐπιγνόντες ἅμα καὶ καταγνόντες κατέπαιξαν ματαιότητα, ὁ μὲν θρηνῶν, ὁ Ἡράκλειτος, ὁ δὲ γελῶν, ὁ Δημόκριτος. οὗτος οὖν καὶ δεσμεῖται μανίαν ἐγκληθείς, οὗ καὶ ἐπιτύμβιον φέρεται·

« ἦν ἄρα Δημοκρίτοιο γέλως τόδε καὶ τάχα λέξει·

— οὐκ ἔλεγον γελόων· πάντα πέλουσι γέλως. — »

ὑπῆρχε δὲ ὁ μὲν Ἀβδηρίτης, Ἐφέσιος δὲ ὁ Δημόκριτος.

23. Οὐ ναοὺς βεβηλωμένους ἁγίων αἵμασι, καὶ γενομένους ἀντὶ ναῶν πολυάνδρια;

πολυάνδρια τοὺς τάφους φασίν· κυρίως τὰ ξενοτάφια (sic). 124
Cfr. scolii n° 12 e n° 13.

23. Τίς δῆμος σεσωφρόνισται; Τίνες δήμων ἀνάπται;

τίνες δήμων ἀνάπται; ἐσωφρονίσθησαν δηλαδή· ἀνά- 125 πτας δὲ δήμων, τοὺς οἷον ἐξάπτοντας καὶ διεγείροντας εἰς τὸ στασιάζειν· δημηγέρτας τούτους δημώδης ἄν τις εἴποι ἀνήρ.

24. τὸ δὲ τῆς τραπέζης φιλότιμον, τὸ δὲ τῆς ἐσθῆτος αἰδέσιμον, αἱ δὲ πρόοδοι, τὸ δὲ σοβαρὸν πρὸς τοὺς ἐντυγχάνοντας.

πρόοδοι αἱ προελεύσεις καὶ τὰ νῦν λεγόμενα ὀψικεύματα. 126

24. Ἠγνόουν γὰρ, ὅτι πρὸς ὑπάτους ἡμῖν καὶ ὑπάρχους ἡ ἅμιλλα, καὶ στρατηγῶν τοὺς εὐδοκιμωτάτους, οἳ μὴ ἔχουσιν, ὅποι τὰ ἑαυτῶν ῥίψουσι [duo coisl. et Or. 2, ῥίψωσι].

Δημοσθένης ἐν τῷ τῆς παραπρεσβείας· εἰδότες αὐτὸν Ἀθη- 127 ναῖοι πολλοῖς ἔνοχον ὄντα, τὸν Αἰσχίνην φησίν, ἀφῆκαν, καὶ νοῦν ἔχειν ἡγοῦντο, καὶ τὴν πόλιν εὐσθενεῖν· τὸν δὲ κατηγοροῦντα, τουτέστιν ἐμέ, τί ἡγοῦντο; δηλονότι ἐμβεβροντῆσθαι καὶ τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτει· τουτέστι οὕτω με ἡγοῦντο ἐξεστηκέναι καὶ ἀγνοεῖν καὶ μηδὲ εἰδέναι, ὅποι δέον ἦν τὰ ἑαυτοῦ ῥίψαι καὶ καταβαλέσθαι (ἢ τὰ ἑαυτοῦ ῥήματα ἢ τὰ χρήματα λέγει τὰ ὑπὲρ τῶν αἰχμαλώτων) ἀλλ' ἢ πρὸς τοὺς ⟨τοὺς⟩ ἀχαρίστους καὶ τοὺς προδότας προτιμῶντας Ἀθηναίους. οὕτως δὴ κἀνταῦθα τὸ μὲν ῥίψωσιν ὁμοίως ἀντὶ τοῦ καταβάλωσι, θήσουσι, ἀπορρίψουσιν ἐκδέξῃ· τὰ δὲ λοιπά, οὐδὲν πρὸς τὸν λόγον. ἐκεῖ μὲν γὰρ τὰ ῥιπτούμενα τοῦ Δημοσθένους καὶ καταβαλλόμενα πρὸς ἀχαρίστους καὶ οἰομένους λῆρον αὐτόν, τὸν δ' ἐχθρὸν * ἔχειν ἡγουμένους· ἐνταῦθα δὲ τὰ ῥιπτούμενα ὀνείδη οὐκ ἄλλοθί που, ἀλλ' ἢ εἰς αὐτὸν βλέπει τὸν πατέρα· ὃν οὐδὲ αὐτὸς ἱκανὸς ὁ Μῶμος μωμᾶσθαι· ἐκείνων ὡς ἀληθῶς

ὄντα ψόγους τὰ τοιαῦτα, καὶ ὡς ἀγαπώμενα περισπούδαστα, καὶ ὡς σπουδαζόμενα ἐπαινούμενα· αὐτῷ δὲ καὶ λίαν ὑπερορώμενα καὶ ἀτιμαζόμενα.

13. τὸν δ' ἐχθρὸν ⟨νοῦν⟩ ἔχειν κτἑ.?

Cfr. Demostene Π. τῆς Παρ. 231 sq.

24. Ἵπποις δὲ φέρεσθαι τρυφεροῖς, καὶ δίφρων ὑπεραίρεσθαι περιλάμπρως, προπομπεύεσθαί τε καὶ περιποππύζεσθαι.

128 προπομπεύεσθαι· προοδεύεσθαι, ὅ φασιν ὀψικεύεσθαι ἐπὶ τιμῇ· ὃ καὶ ἐπὶ ψόγου καὶ θριάμβου παραλαμβάνεται.

Segue poi la dichiarazione di περιποππύζεσθαι qual'è in Migne II, 908, meno οὖν invece di γάρ. Cfr. Migne II, 912.

129 δίφρος κυρίως τὸ ἅρμα λέγεται παρὰ τὸ δύο φέρειν τόν τε ἡνιοχοῦντα καὶ τὸν πολεμοῦντα· ἐνταῦθα δὲ ὁ πατὴρ δίφρον τὴν σέλλαν καλεῖ. προπομπεύεσθαί τε καὶ περιποππύζεσθαι· τὸ προοδοποιεῖσθαι καὶ ὀψικεύεσθαι. ποππύζεσθαι λέγεται τὸ κολακεύεσθαι· εἴρηται δὲ ἐπὶ τῶν ἀνημέρων καὶ ἀγυμνάστων ἵππων· ἔστι δ' ἡ λέξις πεποιημένη.

Cfr. scolio n° 198.

25. Ναί, πρὸς .... τῆς τοῦ λαοῦ τοῦδε συμπήξεως, δότε μοι τὴν χάριν ταύτην·... αὕτη γενέσθω μοὶ τῆς ἀθλήσεως ἡ ἀνάρρησις· δότε μοι τὸ γράμμα τῆς ἀφέσεως, ὥσπερ τοῖς στρατιωτικοῖς οἱ βασιλεῖς· καὶ εἰ βούλεσθε, μετὰ δεξιᾶς τῆς μαρτυρίας, ἵν' ἔχω τὸ ἐπιτίμιον.

130 συμπήξεως, τῆς συνεδράσεως καὶ βεβαιώσεως, τῆς πρὸς τὴν πίστιν τὴν ὀρθήν· ἀνάρρησις, ἀνακήρυξις, ἣ ὑπὸ κήρυκος ἐν τῷ δήμῳ τοῖς νικηφόροις ἐγίνετο. τὸ γράμμα τῆς ἀφέσεως· τοῖς εἰς στρατιωτικοὺς καταλόγους τεταγμένοις στρατιώταις γηράσασιν, ἢ καὶ σπάνει τῶν ἀναγκαίων μηδὲ καλῶς ἔχουσι ταῖς στρατείαις σχολάζειν, γραμματίδιον παρὰ τοῦ κρατοῦντος ἀφέσεως καὶ ἐλευθερίας ἐδίδοτο. τὸ δὲ ἐπιτίμιον, εὕρηται καὶ ἐπίτιμον, ὅπερ ἐστὶ τὸ μὴ ἄτιμον· « καὶ ἤδη » φησὶν ὁ Ῥήτωρ « ἐπιτίμιός ἐστιν » ἀντὶ τοῦ τίμιος. τὸ ἐπιτίμιον δὲ τὴν ἀτιμίαν καὶ τιμωρίαν ὡς ἐπὶ τὸ

πολὺ σημαίνει· λαμβάνεται καὶ ἐπὶ τιμῆς, ἀπὸ τοῦ ῥήματος τὴν διπλῆν σημασίαν ἐπαγόμενον.

4. στρατιῶται il cod.

ἀφέσεως γράμμα τοῖς στρατιώταις δίδοται γηράσασιν, ἢ 131 ἀσθενοῦσιν, ἢ ἐνδείᾳ τῶν πρὸς τὸν πόλεμον χρειῶν, ἵππων τε καὶ ὅπλων καὶ ἐφοδίων.

1. δίδο·/. il cod.

ἐπιτίμιον λέγει ἐνταῦθα ὁ πατὴρ τὸ ἐπ' ἀμοιβῇ ἀγαθοῦ 132 τιμῆς ἕνεκε διδόμενον.

25. Ὑμεῖς μὲν οὖν τοὺς προπεμπτηρίους ἡμῖν μελετήσατε λόγους· ἐγὼ δὲ ὑμῖν ἀποδώσω τὸν συντακτήριον.

προπεμπτήριοι λόγοι εἰσὶν ⟨οἱ⟩ ἐπὶ ἐκδημίᾳ καὶ προπομπῇ 133 λεγόμενοι· ὁμοίως καὶ οἱ συντακτήριοι. ὥσπερ ἐκεῖνοι τῶν προπεμπόντων, οὕτω καὶ οὗτοι τῶν συντασσομένων καὶ προπεμπομένων. εἴρηται περὶ ἑκατέρων ἀνωτέρω, ὅτι τῆς πανηγυρικῆς ἰδέας εἰσίν.

1. ⟨οἱ⟩ manca nel cod.

Cfr. scolio n° 83.

26. Χαίρετε, τῶν ἐμῶν λόγων ἐρασταί, καὶ δρόμοι, καὶ συνδρομαί, καὶ γραφίδες φανεραὶ καὶ λανθάνουσαι, καὶ ἡ βιαζομένη κιγκλίς, αὕτη τοῖς περὶ τὸν λόγον ὠθιζομένοις.

κιγκλίς, ἡ νῦν τῶν ἐκκλησιῶν καλουμένη σωλία. 134

Oraz. XLIII.

Εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου (1).

135 Ζητεῖται ἐν πρώτοις, διὰ τί οὐχὶ ἐγκώμιον, ἀλλ' ἐπιτάφιος ὁ εἰς τὸν μέγαν Βασίλειον ἐπιγέγραπται λόγος, καὶ τί ἐπιτάφιος διενήνοχεν ἐγκωμίου. φαμὲν οὖν ὅτι, τριῶν ὄντων εἰδῶν τῆς ῥητορικῆς, συμβουλευτικοῦ, δικανικοῦ καὶ πανηγυρικοῦ εἴτ' οὖν ἐπιδεικτικοῦ, τοῦ ἐπιδεικτικοῦ τούτου ἤτοι πανηγυρικοῦ ἐστι τὸ ἐγκώμιον, καὶ πάντες δὲ οἱ εὐφημίαν ἔχοντες λόγοι. τοῦ εἴδους οὖν τούτου, καὶ οἱ εἰς θεὸν ὕμνοι, ἐπιθαλάμιοί τε καὶ γενεθλιακοὶ καὶ προσφωνητικοί, ἐπιβατήριοί τε καὶ συντακτήριοι, καὶ οἱ ἐπιτάφιοι. γενικῷ οὖν λόγῳ καὶ οἱ ἐπιτάφιοι, τῆς πανηγυρικῆς ὄντες ἰδέας, ἐγκώμιά εἰσι· τοῖς γὰρ αὐτοῖς κεφαλαίοις διαιροῦνται τοῖς θρήνοις μόνοις πλεονάζοντες. πλὴν οὐκ ἀντιστρέφει, ὡς καὶ πᾶν ἐγκώμιον ἐπιτάφιον καλεῖσθαι· διαφέρει γάρ, ὅτι οἱ μὲν ἐπὶ τῶν τάφων, ἔνθεν καὶ παρονομάζονται, λέγονται καὶ τοῦ λειψάνου κειμένου, τὰ δ' ἐγκώμια καὶ πανταχόσε ῥηθεῖεν ἄν· καὶ οἱ μὲν θρήνους ἕξουσι καὶ οἰμωγάς τινας καὶ παραμυθίας τῶν προσηκόντων, τὰ δὲ μόνην καὶ ἀκραιφνῆ προάγει τὴν εὐφημίαν. οὗτος οὖν ὁ λόγος, καὶ αὐτῷ καθωμολόγηται τῷ Πατρί, καὶ ὡς θρήνους παριέχων καὶ ὡς ἐπὶ τῶν τάφων ῥηθείς (μετὰ γὰρ τὴν ἀπὸ Κωνσταντινουπόλεως ἐπάνοδον ἐν Καισαρείᾳ ἐκπεφώνηται) εἰκότως ἐπιτάφιος, ἐγκώμιον ὤν, ἐπιγέγραπται· ὁ δὲ μετὰ πολὺν χρόνον γραφόμενος οὐκ ἐπιτάφιος, μὴ ἐπὶ τάφων ῥηθείς, καθαρὸν δὲ ἐγκώμιόν ἐστιν, ὡς καὶ Ἰσοκράτους Εὐαγόρας. οὗτος ὁ λόγος πάσαις ταῖς τεχνικαῖς ἀπαραλείπτως ἐγκεκαλλώπισται μεθόδοις· ἄθρει γὰρ ἐν προοιμίοις εὐθέως, ὅσαις ἀρεταῖς πλήθει, τῇ ἐξ ἐπεμβολῆς περι-

(1) Gli scolii di questo commentario che appartengono a Basilio Minimo, sono stati da me collazionati sul cod. Vaticano 437.

βολῇ, τῇ ἐξ αἰτίας κατασκευῇ, τῇ τε μακροκωλίᾳ, ὅπερ οἰκεῖόν φασι προοιμίων, καὶ τῷ διπλασιασμῷ τῶν τε κώλων καὶ τῶν ὀνομάτων. Β.

18. ἀπὸ τῆς K. V. 437. — 20. μὴ ἐν τῷ τάφῳ V. 437. — 21. καὶ Om. V. 437. — 22. τέχναις L.

Cfr. scolio n° 83, Cic. Orat. II, 61, e Quintiliano III, 5. 13. Il commento all'orazione XXIV Εἰς Κυπριανὸν κτέ. (scolio B) comincia: Ὁ παρὼν λόγος τοῦ πανηγυρικοῦ εἴτουν τοῦ ἐπιδεικτικοῦ ὢν εἴδους, ἐγκώμιόν ἐστιν. ἀλλὰ καὶ πάντες οἱ εὐφημίαν ἔχοντες λόγοι (cod. λόγων) τοῦ αὐτοῦ εἴδους εἰσίν. E il commento all'orazione XV Εἰς τοὺς Μακκαβαίους comincia: Πρόδηλον ὡς τῆς πανηγυρικῆς ἰδέας ὑπάρχων ἐγκώμιόν ἐστιν κτέ. — Cfr. infine la ὑπόθεσις ἀνωνύμου γραμματικοῦ all'Evagora di Isocrate.

1. Ἔμελλεν ἄρα, πολλὰς ἡμῖν ὑποθέσις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος (καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις, ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς), ἑαυτὸν νῦν ἡμῖν προθήσειν, ὑπόθεσιν ἀγώνων μεγίστην τοῖς περὶ λόγους ἐσπουδακόσιν.

Ἔμελλεν ἄρα· ὁμωνύμου ταύτης ὑπαρχούσης τῆς φωνῆς, διαστελλομένης τῆς δι' ἑνὸς λ̄, ὅπερ μέλειν ἐπὶ τοῦ φροντίζειν τάττουσιν, σημαίνειν φασὶ τότε ὀφείλειν· Ὅμηρος· « ᾧ μέλλεις εὔχεσθαι ». σημαίνει καὶ τὸ βραδύνειν· « τί μέλλεις, τί δ' ἀναδύῃ; » καὶ μέλλησις, ἡ ἀναβολή· καὶ μελλεταί, οἱ ἀμβολιεργοί. καὶ τὸ ἐδόκει δὲ σημαίνει, ὡς νῦν, καὶ ἀπέκειτο. οἷον, πολλὰς λόγων ὑποθέσεις ὁ μέγας Βασίλειος ἡμῖν προτιθείς, οἷον, φέρε εἰπεῖν, τὸν ἅγιον Κυπριανὸν ὑποθείς, ἢ τὸν πολύαθλον Ἀθανάσιον (ἐφιλοτιμεῖτο γὰρ καὶ ὑπερενελαμπρύνετο τοῖς ἐμοῖς λόγοις), ἔμελλε πάντως, εἴτ' οὖν ἐδόκει, φησί, καὶ ἀπέκειτο ὀψέποτε καὶ αὐτὸν ἡμῖν προθήσειν. Β. 136

2. ὅπερ μέλειν (β α) così il V. 437. — 8. ἅγιον invece di πολύαθλον il cod. V. 437.

Omero *Il.* XI, 364.

1. Ἐμοί τε γὰρ ἔσταί τοῦτο χρέος ἱκανῶς ἀφωσιωμένον. Χρέος δὲ, εἴπερ ἄλλο τι, τοῖς ἀγαθοῖς τά τε ἄλλα καὶ περὶ τὸν λόγον, ὁ λόγος.

137 Ἰσοκράτης Ἑλένης ἐγκωμίῳ· « ἵνα τὰ μὲν ἐκείνοις, τὰ δὲ ἐμαυτῷ χαρίσωμαι ». ⟨B.⟩

Isocr. Ἑλένη § 30, ed. Teubn. p. 232.

1. ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων, οὐκ ἔστιν ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων.

138 Lo scolio a questo lemma, già pubblicato in Migne II, 914, è di Basilio, perchè si trova nei codd. vatt. 436, 437. Esso non diverge che in qualche aggiunta da quello già pubblicato da Jahn. Così, nel laur. IV 13 e nei vatt. suddetti, dopo le parole ἀλλὰ κάλλους ἐργαστική ἐστιν, trovasi il seguente passo: Χρῶνται οὖν οἱ ῥήτορες ἀντὶ μιᾶς, ἔστιν ὅτε δυοῖν (cod. δυεῖν) τε καὶ πλείοσιν· καὶ οὐχὶ ἁπλῶς κατάφασιν αἱ δύο ἀποφάσεις, ἀλλὰ καὶ ἀπόφασιν ποιοῦσιν. — La prima citazione di Demostene poi, κατ' Ἀριστοκράτους, è del § 29, ed. Teubn. II, p. 153.

3. Πολλὰ μὲν γὰρ ὁ Πόντος ἡμῖν ἐκ τοῦ πατρὸς προβάλλει τὰ διηγήματα, καὶ οὐδενὸς ἐλάττω τῶν πάλαι περὶ αὐτὸν θαυμάτων, ὧν πλήρης πᾶσα συγγραφή τε καὶ ποίησις.

139 σημείωσαι, ὅτι ὁ πατὴρ αὐτοῦ Ποντικὸς ἦν. ἐκ πατρικοῦ, φησί, γένους ὁ Πόντος πολλὰ διηγήματα προβάλλει καὶ οὐχὶ ἐλάττονα τῶν πάλαι περὶ αὐτὸν τὸν Πόντον θαυμάτων, ὧν θαυμάτων τοῦ Πόντου πᾶσα συγγραφὴ πλήρης ἐστὶ καὶ ποίησις· συγγραφή, οἷα ἡ Ξενοφῶντος καὶ Πολυβίου καὶ ἑτέρων πολλῶν· ποίησις, οἷα Ἀπολλωνίου τῶν Ἀργοναυτικῶν καὶ ἄλλων οὐκ ὀλίγων. Ὁμοίως, cioè B.

1. σημειωτέον V. 437. — 1. ἐκ τοῦ πατρικοῦ V. 437.

Cfr. Niceta in Migne II, 497, nota 45.

6. Ἐπί τινα τῶν Ποντικῶν ὀρῶν λόχμην (πολλαὶ δὲ αὗται παρ' αὐτοῖς εἰσι καὶ βαθεῖαι, καὶ ἐπὶ πλεῖστον διήκουσαι) καταφεύγουσι.

λόχμην, ἤγουν σύνδενδρον τόπον καὶ φαραγγώδη ἐν τῷ 140 ὄρει.

Manca nei V. 436, 437.

λόχμην· σύνδενδρον τόπον, ὕλην. B. 141

10. Τίς οὐκ οἶδε τὸν τούτου πατέρα, Βασίλειον, τὸ μέγα παρὰ πᾶσιν ὄνομα, ὃς πατρικῆς εὐχῆς ἔτυχεν, ἵνα μὴ λέγω μόνος, εἴπερ τις ἀνθρώπων;

εὐχὴ . . . πατρός ἐστιν ἡττᾶσθαι παισίν, ᾗ φασιν οἱ ἔξω· ἐν 142 τούτοις γὰρ μόνον ἔστιν ἀνεπαχθῶς ἡττᾶσθαι. B.

12. ἀλλὰ τὴν ἐγκύκλιον παίδευσιν παιδευόμενος.

ἐγκύκλιος . . . παίδευσις λέγεται μὲν καὶ πᾶσα ἡ ἑλλη- 143 νικὴ γνῶσις, κυρίως δὲ ἡ ποιητική· ὡς γὰρ τὸν κύκλον περιγράφει τὸ κέντρον, καὶ πᾶσα ἡ τοῦ κύκλου περιφέρεια πρὸς τὸ κέντρον εὑρίσκεται ἀπευθυνομένη, οὕτως Ὁμήρου ποίησις πάσας τὰς ἱστορίας περιέχει τῶν λοιπῶν ποιητῶν.

Di Giorgio Moceno? Non si trova nei codd. vatt. 436, 437.

Segue nel cod. laur. uno scolio di Basilio Minimo allo stesso 144 lemma, già pubblicato in Migne II, 914, ma che giova qui riprodurre colle varianti del cod. vat. 437.

ἐγκύκλιον παίδευσίν φασι καὶ τὴν καθόλου, οἷον γραμματικὴν ποιητικὴν καὶ ῥητορικὴν καὶ φιλοσοφίαν καὶ μαθηματικὴν καὶ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τέχνην τε καὶ ἐπιστήμην, καθ' ἅς, ὥσπερ διά τινος κύκλου, δεῖ τὸν σοφὸν περιιέναι· φασὶ δὲ εἰδικῶς ἐγκύκλιον τὴν ποιητικήν, περὶ ἧς καὶ Πρόκλος ὁ Πλατωνικὸς ἐν μονοβίβλῳ περὶ κύκλου ἐπι⟨κοῦ⟩ γράψας, τῶν ποιητῶν διέξεισι τὴν ἀρετὴν καὶ τὰ ἴδια. καὶ Ἀριστοτέλης ἐν τῇ λογικῇ « τί δέ » φησί « τὰ ἔπη; κύκλος ». κύκλον οὖν τὰ ἔπη φασί, καθ' ὃ πᾶσα ποίησις περὶ τοὺς αὐτοὺς μύθους καταγίνεται, καὶ περὶ τὰς αὐτὰς ἱστορίας ὥσπερ διά τινος περιάγεται κύκλου. B.

1. τὴν καθόλου εἶναι M[igne]. — 1-2. γραμματικήν , ῥητο-

ρικήν, φιλοσοφίαν καὶ μ. — καὶ ῥητ. V. 437 Om. καὶ -- τε καὶ φιλ. V. 437. — 4. ἰδικῶς M. — 5. ἐπικοῦ γράψας V. 437. Π L. ha: ἐπιγράψας, M: ἐπιγραμένῃ, *Scribe*: ἐπιγεγραμμένῃ. — 6. τὰς τῶν π. δ. ἀρετὰς M. — 6-7. καὶ Ἀ. ἐν τῇ λ. τάδε φησί· τὰ ἔπη κύκλος, καθὸ πᾶσα κτέ. — 7. κύκλους L.

Cfr. Welcker Ep. Cycl. II, 495-496.

13. τοσοῦτον ἦν αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐν ἅπασιν.

145 Ἀριστείδης ἐν Παναθηναϊκῷ. B.

146 τὸ παρὸν σχῆμα ἐπιφώνημα τοῖς ῥήτορσι κέκληται· τὸ δὲ ἐπιφώνημα βεβαίωσις τῶν προλεχθέντων ἐστίν· ὥσπερ παρ' Ὁμήρῳ· « τόσσος ἔην », καὶ τὸ « ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν ».

Om. *Il.* IX, 546, e *Il.* XIII, 133, XVI, 217.

14. ἐντεῦθεν, ἐπὶ τὸ τῶν λόγων ἔδαφος τὰς Ἀθήνας ὑπὸ τοῦ Θεοῦ πέμπεται, καὶ τῆς καλῆς περὶ τὴν παίδευσιν ἀπληστίας.

147 ἔδαφος τῶν λόγων Ἀθήνας διὰ τὴν τερατώδη ἐκ κεφαλῆς τοῦ Διὸς γέννησιν τῆς Ἀθηνᾶς ὀνομάζουσιν Ἕλληνες.

1. Ἀθῆναι il cod.

16. καὶ προσαγωγοὶ τῶν λημμάτων.

148 Δίων ἐν ῥωμαϊκαῖς ἱστορίαις· « ὥσπερ αἱ πόρναι τὸν δώσοντά τι ἀεὶ ἀναμένεις, καὶ προσαγωγοὺς τῶν λημμάτων πολλοὺς ἔχων πολυπραγμονεῖς ». B.

3. προσαγωγέας V. 437.

16. Ἔπειτα ἐρεσχελεῖται παρὰ τοῦ βουλομένου παντός.

149 ἐρεσχελεῖται ἀντὶ τοῦ ἐριστικῶς ἐρωτᾶται. τοῦτο δὲ γίνεται πρὸς τὸ ταπεινῶσαι τὸν παραγενόμενον, καὶ ἔσχατον ἑαυτὸν ποιῆσαι νομίζειν ἐν τῇ διατριβῇ.

Cfr. Migne II, 910.

150 ἐρεσχελεῖται· διαπτύεται, χλευάζεται, παίζεται. B.

1. δυσπτύεται 1ª m.; manca questa parola in V. 437. — 1. διαπαίζεται V. 437.

17. Οὐχ ἁπλοῦν γένος εὑρίσκω τοὺς Ἀρμενίους, ἀλλὰ καὶ λίαν κρυπτόν τι καὶ ὕφαλον.

Lo scolio a questo lemma (ἐκ παραλλήλου τὸ αὐτό, ἐκ μεταφορᾶς τῶν ὑφάλων πετρῶν αἷστισι διὰ τὸ κρύπτεσθαι ὑπὸ τῶν ὑδάτων τῆς θαλάσσης αἱ νῆες προσοκέλλουσιν), già pubblicato in Migne II, 906 f. 40 v., è dato a Basilio Minimo nel cod. laur., ma non si trova nel vat. 437. — Cfr. Migne II, 910 f. 146 v., e p. 893-4, nota 6ª, agli scolii di Elia Cretese. 151

17. προειληφότες τοὺς τρίβωνας.

Lo scolio a questo lemma (τρίβωνες δὲ κτέ.) già pubblicato in Migne II, 906 (c. n. 9) è di Basilio. Nel nostro cod. laur. però, come nel vat. 437 leggesi σκαραμάγγον (?); cfr. il § 3 della prefazione, in fine. — Cfr. Migne II, 910 f. 147 r. 152

17. ἴσας ὑσμίνη τὰς κεφαλάς.

ὁμηρικὸν τοῦτο, ἀντὶ τοῦ ἐν τῇ μάχῃ καὶ τῷ ἀγῶνι τῆς διαλέξεως τὰς κεφαλὰς ἑκατέρων τῶν μερῶν ἐξίσωσα. 153

Om. *Il.* XI, 71.

17. πρύμναν τε ἐκρουσάμην.

Riproduco qui lo scolio a questo lemma già pubblicato in Migne II, 908, per le varianti che esso presenta nel laur. e nel vat. 437.

παροιμιακῶς τοῦτο· πρύμναν δὲ κρούεσθαί ἐστι τὸ κατὰ τὴν πρώραν καὶ εἰς τοὔμπροσθεν ἐλαύνοντα ναῦν, μεταβαλόντα κατὰ πρύμναν καὶ εἰς τοὐπίσω αὖθις ἐλαύνειν· προσορμοῦντες δὲ μάλιστα τοῦτο ποιοῦσιν. 154

1. παροιμιωδῶς V. 437, παροιμιῶδες τοῦτό φησι M. — 2. τὸ ἔμπροσθεν M. — 2. τινα invece di ναῦν M. e V. 437. — 3. ἐλᾶν V. 437.

Cfr. Suida s. v. πρύμναν ἐκρούοντο, e Piccolomini n° 240.

17. καὶ ἑτεραλκέα τὴν νίκην ἐποίησα.

155 ἑτεραλκέα νίκην φασὶν ὅταν οἱ νικῶντες ἡττῶνται. ὁμηρικὸν δὲ καὶ τοῦτο, ὡς τὸ « ἴσας ὑσμίνῃ κεφαλάς ».

Cfr. H. Ebeling Lex. Hom. s. v. ἑτεραλκής. — Cfr. scolio n° 153.

20. Οὕτω δὴ τὰ πρὸς ἀλλήλους ἔχοντες, καὶ τοιαύτας ὑποστήσαντες εὐτειχεῖ θαλάμῳ χρυσέας κίονας, ὅ φησι Πίνδαρος, οὕτως ᾔειμεν εἰς τὸ πρόσω, Θεῷ καὶ πόθῳ συνεργοῖς χρώμενοι.

Lo scolio di Basilio Minimo a questo lemma è pubblicato nella prefaz. § 2 e coincide con Piccolomini n° 241. Quello di Giorgio è il seguente:

156 τῶν καλῶν ὑποθέσεων τὰς ἀρχὰς χρυσέας κίονας λέγει καὶ Πίνδαρος καὶ ὁ θεολόγος Γρηγόριος.

Pindaro Olymp. VI init.

20. Μία μὲν ἀμφοτέροις ἐδόκει ψυχή, δύο σώματα φέρουσα. Καὶ εἰ τὸ πάντα ἐν πᾶσι κεῖσθαι, μὴ πειστέον τοῖς λέγουσιν· ἀλλ' ἡμῖν γε πειστέον, ὡς ἐν ἀλλήλοις, καὶ παρ' ἀλλήλοις ἐκείμεθα.

157 οἱ πλεῖστοι καὶ λογάδες τῶν φιλοσόφων πάντα λέγοντες τὰ ὄντα τὰ δ' στοιχεῖα εἶναι, φασὶν ὅτι καὶ ἐν παντὶ εὑρίσκονται σώματι· τινὲς δὲ οὐ. πρὸς οὖν τοὺς λέγοντας μὴ πάντας ἐν πᾶσι κεῖσθαί τε καὶ εὑρίσκεσθαι, φησὶν ὅτι καὶ εἰ μὴ πειστέον αὐτοῖς, ἀλλ' ἐμοὶ καὶ Βασιλείῳ πανάληθες καὶ πίστεως ἄξιον, ὡς ἐν ἀλλήλοις ἦμεν κατὰ ψυχὴν καὶ παρ' ἀλλήλοις ὡς δύο σώματα.

Cfr. Migne II, 911, nello scolio ove si parla di Empedocle e di Anassagora.

20. κανόνες ὄντες ἀλλήλοις καὶ στάθμαι.

158 τοῦτο βούλεται λέγειν ὅτι, ὥσπερ τὸ κανόνιον καὶ ἡ στάθμη ἀπευθύνει, τὸ μὲν λίθους, ἡ δὲ ξύλα, καὶ χωρίζει τὸ μὴ εὐθὺ καὶ τὸ εὐθύ, οὕτως ἦμεν τῷ βίῳ ἀλλήλοις ἐν πᾶσιν, ἐγὼ καὶ Βασίλειος. Β.

Cfr. Piccolomini n. 61 e 135.

21. ποταμὸς δι' ἅλμης ῥέων γλυκύς.

τὸν Ἀλφειὸν λέγει, ὃς τέμνων τὴν θάλασσαν τῇ ἐρωμένῃ 159 κρήνῃ συμμίσγει Ἀρεθούσῃ, τὴν ἰδίαν, ὥς φασι, κἂν τῇ θαλάττῃ σώζων γλυκύτητα.

Cfr. le ἱστορίαι attribuite a Nonno, Pref. § 1.

22. εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν.

Lo scolio a questo lemma, già pubblicato in Migne II, p. 906, 160 cod. 204 f. 24 v, e sul quale confr. Leutsch *Paroem. gr.* I, Diogeniano Cent. VI, 28, è nel laur. dato a Basilio Minimo e trovasi pure nel cod. vat. 437.

23. Τίς μὲν ῥητορικὴν τοσοῦτος, τὴν πυρὸς μένος πνέουσαν, εἰ καὶ τὸ ἦθος αὐτῷ μὴ κατὰ ῥήτορας ἦν;

ὅπερ Ὅμηρος ἐπὶ τῆς μυθικῆς Χιμαίρας, φησίν, ἐπὶ τῆς ῥητο- 161 ρικῆς τινες μετειλήφασι, διὰ τὸ ἄμαχον καὶ ἀκατάσχετον ὡς πῦρ τὴν δύναμιν καὶ αὐτὴν ἔχειν. B.

23. ὡς ῥᾷον εἶναι τοὺς λαβυρίνθους διεξελθεῖν, ἢ τὰς ἐκείνου τῶν λόγων ἄρκυς διαφυγεῖν.

⟨λαβύρινθος·⟩ σπήλαιον ἢ οἰκοδόμημα δυσδιεξόδευτον ἐν τῇ 162 Κρήτῃ, ἐν ᾧ ὁ Μινώταυρος. καὶ ἐν Αἰγύπτῳ δὲ ἄλλος τῇ ποικιλίᾳ τοῦ ἔργου δυσδιεξάγωγος. εἴρηται καὶ ⟨ἐν τῷ⟩ εἰς τὸν μέγαν Ἀθανάσιον πλατύτερον. B.

Aggiungo le varianti del vat. 437. — 1. οἴκημα invece di οἰκοδόμημα — 1. τῇ manca — 2. δὲ manca — 3. ἐν τῷ mancanti nel laur., sono nel vat. — 3-4. εἰς τὸν μ. Α. λόγῳ, manca πλατύτερον.

ἐν Κρήτῃ δυσδιεξόδευτον σπήλαιον λαβύρινθος προσαγορευό- 163 μενον, ὡς δυσκόλως τὸν ἐν αὐτῷ εἰσιόντα ἐξέρχεσθαι. Γ^ε.

Cfr. per ambedue gli scolii, 162 e 163, Piccolomini nº 194.

23. οὓς ἀσφοδελῶν λειμώνων καὶ Ἠλυσίων πεδίων ἠξίωσαν Ἕλληνες.

164 προπαροξυτόνως ἀσφόδελος τὸ φυτόν· ἀσφοδελὸς ὁ λειμὼν ὁ ἀσφοδέλων πλήρης. ἠλύσιον δὲ τὸ ἄφθαρτον καὶ λύσιν μὴ ἔχον. B.

1. ἀσφόδελός προπαροξυτόνως V. 437. — 2. ἄφθαρτον καὶ ἀκήρατον καὶ λύσιν V. 437.

24. ἐξιτήριοι λόγοι, προπόμπιοι.

165 ἐξιτήριοι λέγονται λόγοι καὶ προπόμπιοι οἱ ἀποδημητικοὶ καὶ προοδευτήριοι καὶ ἵν' οὕτως εἴπω συναπολυτικοὶ καὶ ἀποχαιρετισματικοί.

30. ἣν Ἄρειος νοσήσας, ὁ τῆς μανίας ἐπώνυμος, τὸ πολὺ τῆς Ἐκκλησίας διέσεισε καὶ διέφθειρεν.

166 ἣν κατατομὴν καὶ διαίρεσιν νοσήσας Ἄρειος, τῷ κακῷ τούτου τῆς διαιρέσεως καὶ κατατομῆς τὸ κακὸν τῆς συναιρέσεως ἰάσασθαι τοῦ Σαβελλίου ἐπεχείρει. μανίας δὲ ἐπώνυμον, καθὸ ἀπὸ τοῦ Ἄρεως παρονομᾶσαι (sic) λέγει. τοῦτον δὲ πολεμικώτατόν τινα δαίμονα οἱ Ἕλληνες ἐμυθολόγουν καὶ μανικόν. Ὅμηρος· « μαινόμενε, φρένας ἠλέ ». B.

2. Le parole da καὶ κ. fino a συναιρέσεως sono in margine lat. est. nel cod. vat. 437. — 2. ἰᾶσθαι V. 347. — 3. τοῦ manca in V. 347. — 4. παρονομᾶσθαι V. 347. παρωνόμασται?

Omero *Il.* XV, 128.

35. ἔτνους τε πλήρεις προθεὶς λέβητας, καὶ τοῦ ταριχευτοῦ παρ' ἡμῖν ὄψου, καὶ πένητας τρέφοντος.

167 ἔτνος· εἶδος ὀσπρίου· οἱ μὲν κύαμον, οἱ δὲ τὸ καλούμενον πισσάριον, οἱ δὲ ἕψημα ἀθηρῶδες· τοῦτο γὰρ δασυνόμενον σημαίνει. ἀφ' οὗ καὶ ἀθάρα καὶ ἀθήρη, ἔνθεν καὶ ἐτνήρυσις παρ' Ἀριστοφάνει. ἔτνος οὖν τὸ συγκοπὲν καὶ ἐρειχθὲν καὶ ἑψηθὲν ὄσπριον, ἀπὸ τοῦ ἐρείκω τὸ σχίζω. οὕτω καὶ Διογενιανός. B.

Di questo scolio, pubblicato già in Migne II, 914, cod. 499

f. 84 r (confr. anche II 911, cod. 216 f. 161 r, e Piccolomini 242), aggiungo le varianti tratte dal V. 437. — 1. ἔτνους — 3. ἀθήρα καὶ ἀθάρα — 3. παρὰ — 4. τὸ ἐρειχθὲν καὶ συγκοπὲν καὶ ἑψηθὲν ὄσπριον. — Cfr. anche Niceta in Migne II, 544, 14.

ἔτνους, ὀσπρίου τοῦ λεγομένου κυάμου, ταριχευτοῦ δὲ ὄψου. 168 τὸν καλούμενον λάρδον, ἢ ἀπόκτην (sic) δεῖ ἐννοεῖν· ταριχευτὸν γὰρ πᾶν τὸ πασσόμενον ἁλσὶ καὶ ἰσχνὸν καὶ κατεσκελετευμένον τῶν ἰχθύων καὶ τῶν ἄλλων κρεῶν· παρ' ἡμῖν δὲ εἰπών, ποιεῖ ἐννοεῖν τὸ ἀπόκτιον καὶ χοίρειον κρέας ἑψήματι καὶ ἀθηρώδει χυλῷ μιγνύμενον. Γ.

3. κατεσκλητευμένον il cod. — 5. κοίρειον il cod.

In Migne II, 907, cod. 204 f. 45 r. sono pubblicate le parole da ταριχευτὸν γὰρ (τάριχος λέγεται in M.) fino a τῶν ἄλλων κρεῶν.

37. Τοῦτο προσκείσθω τοῖς παλαιοῖς διηγήμασιν, ὅτι πόνος ὑγείαν χαρίζεται, καὶ προθυμία νεκροὺς ἀνίστησι.

τὸ... προθυμία νεκροὺς ἀνίστησιν ὑπερβολικῶς ἐκ 169 τῆς δημώδους εἴληπται παροιμίας, ὡς καὶ τοὺς ἄγαν ἐρρᾳθυμηκότας καὶ οἷον νεκροὺς κειμένους διὰ προθυμίας ἐκ τῆς ἀπὸ ῥᾳθυμίας νεκρότητος ἐξανίστασθαι.

40. πλὴν εἴ τις διὰ κακίαν ἀνίατον ἠμελήθη καὶ παρεῤῥίφη.

καὶ τοῦτο ἰσοκρατικὸν ἐκ τοῦ Πανηγυρικοῦ· « πλὴν εἴ τις διὰ 170 σμικρότητα » φησίν « ἠμελήθη ». Β.

καὶ τοῦτο, alludesi a uno scolio precedente, pur di Basilio Minimo, che può leggersi in Migne II, 907, cod. 204 f. 46 r.

47. τὸν ἀρχιμάγειρον Ναβουζαρδάν.

ἀρχιμαγείρους... τοὺς ἐπὶ τῆς βασιλικῆς τραπέζης καὶ 171 θεραπείας ἄρχοντάς φασιν. Β.

ἀρχιμάγειρος... λέγεται καὶ ὁ ἔφορος τῆς βασιλικῆς 172 τραπέζης. ⟨Γ?⟩

48. Οὐ γὰρ προσώποις τὸν Χριστιανισμόν, ἀλλὰ πίστει χαρακτηρίζεσθαι.

173 τὸ... χαρακτηρίζεσθαι οὐ σόλοικον, ἀλλὰ κατ' ἔλλειψιν ἐν σχήματι εἴρηται· συνυπακουόμενον γὰρ ἔχει τὸ χρή, καὶ δὴ ἀττικῷ ἔθει. Ἀριστοτέλης· « πρῶτον εἰπεῖν περὶ τί καὶ τίνος ἐστιν ἡ σκέψις ». B.

3. δεῖ ἀττικῶς il cod.

50. ὡς ἡμᾶς γε οὐχ αἱρήσεις οὐδὲ πείσεις, συνθέσθαι τῇ ἀσεβείᾳ, κἂν ἀπειλῇς χαλεπώτερα.

174 οὐχ αἱρήσεις· οὐ κρατήσεις. ἡ μεταφορὰ ἐκ τῶν ἀγρίων ζώων, ἅτινα χειρωθέντα καὶ κρατηθέντα καὶ δεσμῷ καθυποβληθέντα λοιπὸν ἕπεται τοῖς ἕλκουσιν, ᾗπερ ἂν θέλωσιν. B.

È scolio marginale, ma appartiene a Basilio Minimo; perchè si trova nel V. 437, il quale presenta le varianti: 1. ἀπὸ invece di ἐκ — 3. ἄγουσιν, ᾗπερ ἂν ἕλκωσιν.

57. τὸ περιαυχένιον ῥάκος σφενδονᾶσθαι προσέταττεν.

175 τὸ περιαυχένιον ῥάκος, οὐ τὸ ὠμοφόριον, ἀλλὰ τὸν οὕτως περσικῇ γλώσσῃ μανδύαν χαλούμενον λέγει.

1. ὀμοφόριον il cod.

57. Ξέειν [Or. 2 et Comb., ξύειν] τοῖς ὄνυξιν.

176 ξέειν, τὸ ἐξ ἐπιπολῆς καὶ κατὰ τὴν ἐπιφάνειαν κεχρῆσθαι τοῖς ὄνυξί τε καὶ μάστιξιν· ξύειν δέ, τὸ κατὰ βάθος. ἐνταῦθα ξύειν γραπτέον· τοῦτο γὰρ τῆς ἀπειλῆς τὸ φοβερώτερον. B.

2. ἐνταυθα οὖν ξ. V. 437 — 3. φοβερότερον L.

57. ὡς καπνοῦ σμῆνος κινήσαντος.

177 σμῆνος, τὸ τῶν μελισσῶν ἄθροισμα.

60. Κράτης Κράτητα Θηβαῖον ἐλευθεροῖ.

178 Lo scolio a questo lemma, pubblicato in Migne II, 907, cod.

204 f. 50 r (cfr. Leutsch *Paroem. gr.* II p. 486, Apostolio X 54), è di Basilio Minimo, essendo segnato B nel cod. laur. e trovandosi nel vat. 437.

60. Οὐ δὲ πίθον ᾤκει καὶ μέσην τὴν ἀγορὰν, ὥστε πᾶσι παρατρυφᾶν, καινὴν εὐπορίαν τὸ ἀπορεῖν ποιούμενος.

Διογένης, ὁ κυνικὸς φιλόσοφος· ὃν καὶ παρατρυφᾶν, ἀλλ' οὐ τρυφᾶν εἶπε· πένης γὰρ ὢν καὶ μηδενὸς εὐπορῶν εἰς τρυφὴν τοῖς εὐπόροις καὶ τρυφῶσι συνετρύφα πλησιάζων καὶ συγγινόμενος· τοῦτο γὰρ τὸ παρατρυφᾶν. B. 179

1. ὢν invece di ὃν il cod. laur. — 1-2. ἀλλ' οὐχ ἁπλῶς τρυφᾶν il V. 437.

63. Τί μοι πρὸς τοῦτο τὸ ἔργον, ἑπτάπυλοι Θῆβαι, καὶ Αἰγύπτιαι, καὶ τείχη Βαβυλώνια, καὶ Μαυσώλου Καρικὸς τάφος, καὶ Πυραμίδες, καὶ Κολοσσοῦ χαλκὸς ἄμετρος, ἢ ναῶν μεγέθη καὶ κάλλη τῶν μηκέτι ὄντων, ἄλλα τε ὅσα θαυμάζουσιν ἄνθρωποι καὶ ἱστορίαις διδόασιν, ὧν οὐδὲν τοὺς ἐγείραντας πλὴν δόξης ὀλίγης ὤνησεν;

τὰ ζ' θεάματα· ὁ ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος ναός· τὰ βαβυλώνια τείχη, ἃ Σεμίραμις κατεσκεύασεν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, περίμετρον σταδίων υ', πλάτος τοῦ τείχους πηχῶν π'. αἱ ἐν Αἰγύπτῳ πυραμίδες, ὧν τὸ τῆς μεγίστης ὕψος πηχῶν υ'· τὰ Κύρου βασίλεια ἐν Περγάμοις· ὁ ἐν Ῥόδῳ Κολοσσὸς χαλκοῦς πηχῶν ξ', κατ' Ἀριστοτέλην χ'· ὁ τοῦ Καρὸς Μαυσώλου τάφος· αἱ αἰγύπτιαι Θῆβαι. 180

1-2. βαβυλώνεια.

Di Basilio Minimo? Si trova in V. 437, ma vi è contrassegnato di ἄλλως, e si distingue con ciò da un altro scolio di minor valore, che lo precede nel cod. vat., lo segue nel cod. laur. — Cfr. Kirchhoff in Hermes VI, 491-492 e Piccolomini n. 243, 244, 245.

64. Εἰ δὲ μὴ στωμύλος τις ἦν, μηδὲ γελοιαστής, καὶ ἀγοραοῖς.

στωμύλος ἐκεῖνος ἄνθρωπος λέγεται ὁ μετὰ γέλωτος ἐμ- 181

παίζων τινά· ὁ δὲ μὴ τοιοῦτος ἐπαίνων μᾶλλον ἄξιος ἂν εἴη, οὐ μέμψεως. ⟨Γ?⟩

Cfr. Piccolomini n. 246.

66. ἔτι πορθμὸν διαπερῶμεν, ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος.

182 πορθμός ἐστι τὸ στενὸν καὶ ὀλίγον πέραμα τῆς θαλάσσης. Manca nel V. 437.

66. ὡς ἀπ' ἄκρων τὰ ἄκρα ἰσοτίμως καταφωτίζειν.

183 εἰ γὰρ πρὸς τὸν κόσμον κέντρου λόγον ἔχει ἡ γῆ, καὶ πρὸς τὸν ἥλιον ὁμοίως πολλαπλασίω ταύτης ὑπάρχοντα, ὡς οἱ μαθηματικοί φασι, καὶ ὁ φωτισμὸς δηλονότι καὶ ἡ θέρμη παντί τε καὶ πανταχοῦ ἐπίσης ἔσονται. ἄλλως δέ πως τοῦτο ἔσται· κατὰ γὰρ τὰς ποιὰς κινήσεις καὶ μεταβάσεις, καὶ ταῦτα μειοῦσθαι καὶ αὔξεσθαι κατά τινα μέρη τῆς γῆς ἀνάγκη. ὅτι δὲ ὁ ἥλιος καὶ μήκει ἀπὸ ἀνατολῶν εἰς δυσμὰς καὶ πλάτει καθ' ἑκάτερα μέρη συμπαρεκτεινόμενον ἔχει τὸ μέγεθος, ἢ καὶ ὑπερεκτεινόμενον, διὰ τοῦτο μὴ ἐλαττοῦσθαι ταῦτα, ἀλλ' ἰσοτίμως στρεφόμενος, φησί, τὸ ὅλον συμπεριλαμβάνει τῷ φωτισμῷ τῆς γῆς ἡμισφαίριον. δῆλον ἐκ τῶν κατὰ μεσημβρίαν στοῶν τετραμμένων· αἱ γὰρ τῶν κιόνων σκιαὶ διάμετροι πέμπονται, διότι εὐθεῖαι καὶ κατὰ κάθετον πρὸς ἕκαστον αὐτῶν διὰ τὸ μέγεθος τοῦ ἡλίου αἱ ἀκτῖνες φέρονται. καὶ τὰ ἐν πάσῃ δὲ τῇ γῇ ῥυμοτομούμενα ἄμφοδα ἄσκια γίνεται ταῖς ἰσημεριναῖς ἀνατολαῖς, πλάτει ⟨τοῦ⟩ ἡλίου· πάλιν κατὰ τὴν αὐτὴν μεσημβρίαν, καὶ τὰ ἐν ὅλῃ τῇ οἰκουμένῃ περιφωτίζεται ἄμφοδα μήκει τοῦ αὐτοῦ ἡλίου. καὶ γὰρ πᾶσα γῆ κέντρου λόγον πρὸς τὸ ἡλιακὸν ὕψος ἔχει καὶ τὴν ἀπὸ τούτου νοουμένην σφαίραν· ἰσοτίμως οὖν τῶν ἀκτίνων νεμόντων τοὺς φωτισμοὺς πανταχοῦ, ἐπειδὴ ἐφ' ὧν μὲν κατ' ὀρθὸν καὶ ἔντονον, ἐφ' ὧν δὲ πλάγιον καὶ ἀνειμένον, κατακέκαυταί τινα τῶν κλιμάτων καὶ κατέψυκται. ὑπάρχει δὲ τοῦτο κἂν τοῖς μερικωτέροις καὶ πρὸς ὀλίγον ἀλλήλων διεστηκόσι, τὰ μὲν ἀλεεινά τε καὶ πνιγώδη, τὰ δὲ ψυχρότερα καθορᾶν καὶ παχνώδη. B.

1. ἐπέχει V. 437 — 4. ἕπονται invece di ἔσονται il cod. laur.

— 5. τε καὶ αὔξ. — 8. καὶ διὰ τοῦτο V. 437 — 9. στρεφόμενος, ed omette φησί il vat. 437, στρεφόμενα L. — 11. τετραμμένων στοῶν V. 437. — 12. manca il καὶ nel vat. 437. — 15. ⟨τοῦ⟩ manca nel laur. — 16. ἡ γὰρ invece di καὶ γὰρ il laur.

67. ἢ τὸν Χαλάνης πύργον.

τὸ πεδίον ἐν ᾧ ὁ πύργος ὑπὸ τῶν κακῶς ὁμοφωνησάντων 184 ᾠκοδόμητο, Χαλάνη οὕτως ἐκαλεῖτο, ἴσως ἐκ τοῦ χαλᾶν εἰρημένον, τὴν σύγχυσιν ἀμφοῖν ἅμα τῆς οἰκοδομῆς καὶ τῶν φωνῶν αἰνιττόμενον. B.

68. ἀραμένῳ τὸ πυκτίον [Regg. a, bm, ph et septem Colb., πτυκτίον] ἀκολουθεῖν.

πτυκτίον· βιβλίον· ἀπὸ τοῦ πτύσσεσθαι. B. 185

ORAZ. XLIV.

Εἰς τὰ Ἐγκαίνια.

1. ἵνα μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται τὰ καλά.

ἵνα μὴ ἐξίτηλα, οἷον ἀμαυρὰ καὶ ἔξω τοῦ τεθηλέναι καὶ 186 θάλλειν εἶναι· ἐκ τοῦ Ἡροδότου παρῆκται. ἤγουν, ἵνα μὴ διεφθαρμένα καὶ ἀσαφῆ γένηται τὰ καλά. Τοῦ αὐτοῦ (i. e. τοῦ B).

Erodoto I 1.

4. Ἐπειδὴ γὰρ τοῖς ἄλλοις τὴν ὕλην προϋποστήσας, εἰδοποίησεν ὕστερον, ἑκάστῳ τάξιν, καὶ σχῆμα, καὶ μέγεθος περιθείς, κτέ.

τοῖς οὖν ἄλλοις, φησί, ποιημάτων ὕλην [πρ]οκαταρτίσας καὶ 187 ὑποστησάμενος ὁ ἀριστοτέχνης Θεός, [ἀφ'] ἧς ἓν ἕκαστον τῶν γεγενημένων τὴν ὕπαρξιν ἔσχη[κε]ν, διαμορφοῖ ταύτην μετὰ ταῦτα

καὶ εἰδοποιεῖ [τῶν] εἰς γέννησιν ἐληλυθότων, σχῆμα ἑκάστῳ καὶ μέγεθος περι[θεὶ]ς. ὕλη δέ ἐστι τὸ ὑποκείμενον τοῖς αἰθερίοις σώμασι καὶ [στο]ιχείοις· εἶδος οὖν τὸ περιόν, θερμότης δηλαδὴ καὶ [ξη]ρότης, κουφότης τε καὶ λεπτότης, καὶ ἡ ἑκάστη τῶν πα[ραγ]ομένων μορφή τε καὶ τὸ εἶδος. Γ^ε.

188 ἄλλως. ὕλη ἐστὶ τὸ ὑποκείμενον [εἰς] οὐσίαν ἑκάστῳ, οἷον τὰ δ' στοιχεῖα, ἐν οἷς αἱ οὐσιώδεις [πο]ιότητες, θερμότης, ξηρότης, ψυχρότης καὶ ὑγρότης καὶ τὰ ὅμοια. σχῆμα, μορφή τε καὶ εἶδος, ἃ πρότερον, φησὶν, ὑποστήσας ὁ δημιουργὸς ἐν τοῖς εἰρημένοις στοιχείοις δυνάμει, εἶτα διαμορφοῖ καὶ εἰδοποιεῖ ἐνεργίᾳ ἐκ τῆς ὑποκειμένης ὕλης λέγων· « γενηθήτω τόδε, βλαστησάτω, ἐξαγαγέτω ». καὶ τῇ φωνῇ ἅμα προήρχετο τῶν εἰδῶν ἕκαστον ἐπὶ σχήματος, οὗ νῦν καθορᾶται ἱστάμενον. Β.

Le parole chiuse in parentesi quadre in ambedue gli scolii, 187 e 188, sono malamente leggibili nel cod., perchè nascoste sotto una striscia di pergamena, di cui v. Prefaz. § 1.

5. κἀκείνη [i. e. ἡ Κυριακή] μέν ἐστι μεθόριον τῆς ταφῆς καὶ τῆς ἀναστάσεως.

189 μεθόριόν ἐστι ὁρισμὸς ταφῆς τῆς ἐν τῷ σαββάτῳ καὶ τῆς ἐν τῇ αὐτῇ Κυρίου ἀναστάσεως· οἱονεὶ γὰρ κοινὸς ὅρος ἐστὶν, ἡ Κυριακή, ταφῆς μὲν ἔχουσα καὶ νεκρώσεως τέλος, καὶ ἀρχὴν ἀναστάσεως. τοιοῦτος καὶ ὁ ὅρος· ἡ γὰρ μετά, οὐ μετὰ χρονισμὸν σημαίνει, ὡς Ὅμηρόν φαμεν μετὰ τὰ Τρωϊκὰ γεγονέναι, ἀλλὰ ἔθει πλεονάζει ἀττικῷ γλαφυρωτέραν μόνον τὴν λέξιν τὴν ὅριον κατασκευάζουσα. Β.

6. φεύγωμεν τὰς εὐχροίας, εἰς ἡμᾶς αὐτοὺς βλέπωμεν.

190 εὔχροια, ἡ καλλίστη χρόα, ἡ εὔκρατος τῶν χρωμάτων τοῖς σώμασιν ἐπανθοῦσα μίξις, ἤτοι τὸ κάλλος. ⟨Β⟩.

6. Ἡ ὄσφρησις ἐθήλυνέ σε; Φεῦγε τὰς εὐωδίας.

191 πρὸς τὰ πάθη γὰρ τὸ σῶμα ἐκλύουσι. καὶ πῶς ἔνεστιν

ὀσφρήσεως ἐκθηλύνεσθαι; ἢ ὅτι γυναικοπρεπὲς καὶ οὐκ ἀρρενωπὸν ὡς ἀληθῶς μύροις καὶ τοῖς εὐώδεσι κεχρῆσθαι, ἢ ὅτι, φασίν, εἴωθεν ἡ κατάκορος τῶν τοιούτων χρῆσις θηλυτέρας μὲν τὰς γυναῖκας, θηλυδρίας δὲ καὶ τοὺς ἄρρενας, ἀλλ' οὐκ ἄνδρας, καὶ καταφερεστέρους πρὸς συνουσίας ἐργάζεσθαι. εἴρηται δέ τινι τῶν πάλαι, Κο⟨μ⟩μόδῳ τοῦ Μάρκου κατά τινα λοιμώδη καιρὸν ὑπὸ τῶν ἰατρῶν συμβουλευθῆναι μύροις κατακεχρῆσθαι, ἐξ οὗ, φασίν, ἔτι μᾶλλον καὶ τὰ τῆς ἀσελγείας αὐτῷ ἐπαυξῆσαι. ⟨B.⟩

8. ἐπι per ἔτι il cod.

8. μὴ ζηλώσῃς τι τῶν οὐ φθονουμένων, ἀλλὰ μισουμένων.

Ζῆλος, ἡ τῶν ἀγαθῶν μίμησις καὶ ἡ θερμὴ πρὸς αὐτὰ ζέσις 192 καὶ διάθεσις.

Cfr. Piccolomini n. 152.

8. Εἷς ἐνιαυτὸς τέσσαρας ὥρας φέρει.

κατὰ τὰς τῶν ὡρῶν ποιότητας καὶ τὴν ἡλιακὴν τροπήν, καὶ 193 τὰς μερίδας τοῦ ἐνιαυτοῦ διῄρησαν, δύο μὲν τὰς ἄκρας κατὰ τὸ μᾶλλον, τὴν μὲν τὸ θερμόν, τὴν δὲ τὸ ψυχρὸν ἔχουσαν, χειμῶνα, φημί, καὶ θέρος, τὰς δὲ δύο τὰς τούτων μέσας καθ' ἑκατέραν αὐτῶν ἄκραν, τῇ μὲν ψυχροῦ, τῇ δὲ θερμοῦ κοινωνούσας. τοσαῦτα δὲ καὶ αἱ τροπικαὶ ὧραι, δύο ἰσημεριναί, ἐαρινή τε ἡ κατὰ κριόν, καὶ μετοπωρινὴ ἡ κατὰ παρθένον· δύο δὲ αἱ λοιπαί, ἡ μὲν θερινὴ κατὰ τὸν καρκῖνον, ἡ δὲ χειμωνικὴ κατὰ τὸν αἰγόκερων· εὔκρατος καὶ αἵματος αὐξητικὴ ἡ ἐαρινὴ ὥρα, ἡ θερινὴ δὲ θερμὴ καὶ ξηρὰ χολῆς ξανθῆς γεννητική, ἡ μετοπωρινὴ ξηρὰ καὶ ψυχρὰ χολῆς μελαίνης, ἡ χειμερινὴ ψυχρὰ καὶ ὑγρὰ φλέγματος αὐξητική. B.

ἄλλως. καὶ γὰρ ὁ ἐνιαυτὸς δ' ὥρας ἔχει ἀλλήλων δια⟨λ⟩λαττούσας· αἳ πεφύκασιν, ἥ τε τοῦ ἦρος, καθ' ἣν ἡ τῶν βοτανῶν ὁρᾶται βλάστη, ἰσημερινὴ οὖσα, ἀνέμων αὐξητική, θερμὴ καὶ ὑγρὰ καθισταμένη. καὶ ἡ τοῦ θέρους, ἥ, τῆς τοῦ ἡλίου ἀνατροπῆς, ἤγουν ἀνατολῆς, ἐπὶ τὰ βόρεια μέρη ὑψουμένης, συνεισέρχεται τῷ μετοπωρινῷ καὶ τῷ ἔαρι μεσιτεύουσα, καὶ ἐκ τοῦ ἦρος τὸ θερμόν, ἐκ δὲ τοῦ με- 194

τοπώρου τὸ ξηρὸν ἔχουσα, τῆς ξανθῆς αὐξητικὴ χολῆς, μεγεθύνουσα μὲν τὴν ἡμέραν, ἐλαττοῦσα δὲ τὴν νύκτα. εἶτα εἰς τὴν μέσην ἀνατολὴν τοῦ ἡλίου ἐπανιόντος, ἡ μετοπωρινὴ τροπὴ τὴν θερινὴν ἀμείβει μέσως πως ἔχουσα πήξεως τε καὶ θέρμης, ξηρότητός τε καὶ ὑγρότητος, καὶ μεσιτεύουσα τῇ θερινῇ τροπῇ καὶ χειμερινῇ, ἐκ μὲν τῆς θερινῆς τὸ ξηρόν, ἐκ δὲ τῆς χειμερινῆς τὸ ψυχρὸν κεκτημένη, αὐξητικὴ χολῆς μελαίνης πεφυκυῖα. τοῦ ἡλίου ἐπὶ τὴν χθαμαλωτέραν καὶ προσγειοτέραν εἴτουν τὴν τῆς μεσημβρίας ἀνατολὴν κατιόντος, ἡ χειμερινὴ ἐφίσταται τροπὴ ψυχρά τε καὶ ὑγρὰ τυγχάνουσα, καὶ μεσιτεύουσα τῇ μετοπωρινῇ καὶ τῇ ἐαρινῇ, ἐκ μὲν τῆς μετοπωρινῆς τὸ ψυχρὸν ἔχουσα, ἐκ δὲ τῆς ἐαρινῆς τὸ ὑγρὸν ⟨κεκτη⟩μένη, ἣ φλέγματος ὑπάρχει αὐξητική.

1. διαλαττούσας il cod. — 6. ἀέρει il cod. — 12. κεκτημένης il cod. — 17. ⟨κεκτη⟩ lettere corrose nel cod.

9. χθὲς κωμαστής.

195 κωμαστής, ⟨ἀσελγής⟩. κῶμος καὶ τὸ παίγνιον καὶ ὁ ἔπαινος, ἐξ οὗ καὶ ἐγκώμιον εἴρηται καὶ ἡ μέθη, ἀλλὰ καὶ ἡ ἐκ μέθης ἀσέλγεια. καὶ ὁ Ἀπόστολος· « μὴ κώμοις καὶ μέθαις ». καὶ ὁ Θεόκριτος· « κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα », ἀντὶ τοῦ ἐπὶ πορνείᾳ πορεύομαι, καὶ δῆλον ἐκ τοῦ σωφρονιστής.

1. ⟨ἀσελεγής⟩ nel cod. questa parola è scritta sopra κωμαστής 5. così il cod.

ὁ Ἀπόστολος Rom. XIII, 13, cfr. Migne II, 315 C. — Teocrito Id. III 1.

11. Ἄρτι μὲν ἡ φιλεργὸς μέλισσα, τὸ πτερὸν ἐκλύσασα, καὶ τῶν σίμβλων ἀπαναστᾶσα, τὴν ἑαυτῆς σοφίαν ἐπιδείκνυται.

196 σίμβλων. ἐν οἷς αἱ σιμαί, ἤτοι μέλισσαι, μολοῦσι· εἴρηται ἀπὸ τῆς σιμότητος.

11. Νῦν δὲ ὑψαύχην ἵππος καὶ ἀγέρωχος, τοῖς οἴκοις δυσχε-

ραίνων, καὶ τὰ δεσμὰ τυραννήσας, κροαίνει κατὰ πεδίον, καὶ ποταμοῖς ὡραΐζεται.

κροαίνει· ποιητικὴ ἡ λέξις, ἀντὶ τοῦ κατὰ τῶν πεδίων φερόμενος τοῖς ποσὶ τὴν γῆν κρούει· ἐκ τοῦ παρεπομένου, ἀντὶ τοῦ πορεύεται σκιρτῶν. 197

Oraz. XLV.

Λόγος β' εἰς τὸ Πάσχα.

12. μήτε ἵππον θερμὸν καὶ ὑπερήλικα χαλινοῦ τυραννίδα δίχα τινὸς κολακείας καὶ ποππυσμάτων.

ποππυσμάτων, ἤγουν συριγμάτων. 198

Cfr. Migne II, 908, cod. 204 f. 75 v.; e lo scolio n. 129.

15. καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας ἐλευθερούμεθα.

